1 Str. 13,4,15 (C 630,15) Μετὰ δὲ τὴν Ἱεράπολιν τὰ πέραν τοῦ Μαιάνδρου …, τὰ δὲ πρὸς νότον ἡ Κίβυρά ἐστιν ἡ μεγάλη καὶ ἡ Σίνδα καὶ ἡ Καβαλὶς μέχρι τοῦ Ταύρου καὶ τῆς Λυκίας et 13,4,17 (C 631,5) Λέγονται δὲ ἀπόγονοι Λυδῶν οἱ Κιβυρᾶται τῶν κατασχόντων τὴν Καβαλίδα

ante **1** ἀρχὴ τοῦ κ στοιχείου· βιβλίον κβ add. R, ἀρχὴ τοῦ κ μετὰ τοῦ α Q, ἀρχὴ τοῦ κβ βιβλίου P, ἀρχὴ τοῦ κ στοιχείου N **1** 1 νότον Holste: νῶτον RQPN Στράβων ιγ post Μαιάνδρου add. Berkel 2 καβαλίδος N(ut vid.) Ald.: καβάλιδος R(ex -βάβ-)QP 4 Κιβυρᾶται Berkel (e Str.): κυβιρᾶται R, κιβυριάται QPN τὴν Xylander: ἔστι RQPN

K

1. Kabalis, Stadt in der Nähe von Kibyra, südlich des Mäanders <gelegen> (Str. 13,4,15 [C 630,19]). Der Genitiv <lautet> Καβαλίδος. Der Bürger <heisst> Kabaleer. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 269). Auch im Femininum <wird der Stadtname gebraucht>, wie Strabon im erwähnten Buch (13,4,17 [C 631,5]) <zeigt>: „Abkömmlinge der Lyder, welche Kabalis in Besitz genommen hatten, sind die Kibyraten“. Alexander Polyhistor (FGrHist 273 F 122) hingegen spricht von einem Femininum Kabalissa. Der Abkunft nach sei sie eine Olbierin gewesen.[1]

[1] Der Ortsname Καβαλίς und das Ethnikon Καβαλεύς sind durch Strabon, die direkte Quelle des Stephanos, sowie durch die Analogie im Artikel Ναρμαλίς (ν 16) gesichert; vgl. ferner Hdt. 7,77 Καβηλέες und inschriftliche Zeugnisse, auch für Καβάλισσα, bei O. Masson, MH 41 (1984) 142–145 (mit älterer Literatur). Unklar bleibt hingegen, weshalb Stephanos (oder der Epitomator?) explizit auf eine feminine Namensform (καὶ θηλυκῶς) hinweist. Bei Strabon (13,4,15) scheint ἡ Καβαλίς adjektivisch gebraucht zu sein und bezeichnet daher wohl eine Gegend (s. Radt, Kommentar 7,564), Καβαλία (Ptol. Geog. 5,3,8 [5,3,5] und 5,5,6 [5,5,5]), *Cabalia* (Plin. nat. 5,101); s. TIB 8,2,575 f. Daraus schloss K. Buresch (s. RE X 2,1394 Kabala Nr. 1 sowie Kabalia) auf einen ursprünglichen, allerdings unbelegten, Stadtnamen Κάβαλα, welcher als Neutrum (τὰ) gedeutet würde. Alles lässt darauf schliessen, dass bei Stephanos ursprünglich die Bildung des Ethnikons (Καβαλεύς oder Καβαλιδεύς) ausführlicher diskutiert wurde; zu Überbleibseln einer derartigen Diskussion s. z. B. den Artikel Χαλκίς (bes. 684,2), wo die Analogie Φωκίς/Φωκεύς (675,26) freilich gerade den Fall von Καβαλίς/Καβαλεύς untermauert.

2 **Καβασσός**· πόλις ἐν Καππαδοκίᾳ, πατρὶς ᾿Οθρυονέως. ῞Ομηρος (Ν 363) „Καβησόθεν ἔνδον ἐόντα". Ἑκαταῖος δ' ὁ Μιλήσιος (FGrHist 1 F 169) Καβησσὸν πόλιν εἶναί φησιν ὑπερβάντι τὸν Θρᾴκιον Αἷμον. καὶ
15 συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῶν Θρᾳκῶν ἀκολασίᾳ. Ἑλλάνικος
345 (FGrHist 4 F 147 = fr. 147 Fowler) δὲ τῆς Λυκίας πόλιν Καβησσόν. Ἀπίων 5
(FGrHist 616 F 37) δὲ ἀληθέστερόν φησι κώμην εἶναι Καππαδοκίας μεταξὺ Ταρσοῦ καὶ Μαζάκων. Μάζακα δὲ ἡ Καππαδοκίας ἐκαλεῖτο Καισάρεια. ἐθνικῶς ἀρκεῖ τὸ Ὁμηρικὸν Καβησόθεν. πολλὰ γὰρ τοιαῦτα, ὡς
5 τὸ Καμειρόθεν, τὰ τοπικὰ ἐθνικῶς. δύναται δὲ Καβήσιος ἢ Καβησίτης.

3 **Καβειρία**· πόλις τῆς κάτω Ἀσίας, ἧς τὴν γῆν Καβείριοι ᾤκουν. εἰσὶ καὶ Καβείριοι ἔθνος Βοιωτίας, ὡς Παυσανίας θ̄ (9,25,6). καὶ Κάβειρος <ἡ> Καβειρία, ἀφ' οὗ τὸ Καβειραῖος καὶ Καβειραία καὶ Καβειρίτης. καὶ
10 Καβείριον. τούτου τὸ ἐθνικὸν Καβείριος, ὡς τὸ Βυζάντιον Βυζάντιος, καὶ Καβειρία τὸ θηλυκόν. καὶ Καβειριεύς. καὶ νύμφαι Καβειρίδες, ἀπὸ Καβει- 5
ροῦς τῆς Πρωτέως καὶ Ἀγχινόης, ἀφ' ἧς καὶ Ἡφαίστου Κάδμιλος. ἔστι δὲ ἡ μὲν Καβειρίς παρὰ τὸ Κάβειρος, ἡ δὲ Καβειριάς παρὰ τὸ Καβείριος.
15 τὸ κτητικὸν Καβειρικός καὶ Καβειρική, καὶ καβειριάζεσθαι ῥῆμα.

---

2 St. Byz. α 24 ἀπὸ δὲ τοῦ Καβακησός οἴεται Δίδυμος (p. 181 fr. 10 Schmidt) κατὰ συγκοπὴν τὸ Καβασσός. πόλις δὲ αὕτη τοῦ ᾿Οθρυονέως, περὶ ἧς βιβλίον ὅλον συνέγραψε. δειχθήσεται δὲ ἐν τῷ περὶ αὐτῆς λόγῳ τοῦτο ψεῦδος Sch. T ad N 363b Καβησόθεν· Κάβησα πόλις Ἑλλησποντίς, ἡ νῦν Κύβασα. οἱ δὲ Θρᾴκης (καὶ συνᾴδει <ἡ> ἀκολασία τοῦ γάμου)· οἱ δὲ Λυκίας· οἱ δὲ Καππαδοκίας, Κάβασα· οἱ δὲ τῶν Ἀγαθύρσων ὡς ἥκειν ἐκ τῆς πρὸς Αἷμον Θρᾴκης. οἱ δὲ ἀδελφὸν Σαρπηδόνος Eust. ad N 363 (III 487,11) Κάβησος δὲ πόλις Ἑλλησποντὶς ἢ Θρᾴκης τῆς κατὰ τὸν Αἷμον, οἱ δὲ Καππαδοκίας φασὶ τὰ λεγόμενα Κάβησα, τινὲς δὲ Λυκίας, οἳ καὶ Λύκιον τὸν ᾿Οθρυονέα φασὶ καὶ Σαρπηδόνος ἀδελφόν Ptol. Geog. 5,7,7 (5,6,22) Στρατηγίας Καταονίας· Καβασσός Suid. κ 7 Καβησός· πόλις. καὶ Καβησόθεν, ἀπὸ Καβησοῦ πόλεως **3** Paus. 9,25,6 πόλιν γάρ ποτε ἐν τούτῳ φασὶν εἶναι τῷ χωρίῳ καὶ ἄνδρας ὀνομαζομένους Καβείρους, Προμηθεῖ δὲ ἑνὶ τῶν Καβείρων (v.l. Καβειραίων) καὶ Αἰτναίῳ τῷ Προμηθέως ἀφικομένην Δήμητρα ἐς γνῶσιν παρακαταθέσθαι σφίσιν Str. 10,3,21 (C 472,31) Ἀκουσίλαος δ' ὁ Ἀργεῖος (FGrHist 2 F 20 = fr. 20 Fowler) ἐκ Καβειροῦς καὶ Ἡφαίστου Κάμιλλον λέγει, τοῦ δὲ τρεῖς Καβείρους, οἷς *** Νύμφας Καβειρίδας, Φερεκύδης (FGrHist 3 F 48 = fr. 48 Fowler) δ' …, ἐκ δὲ Καβειροῦς τῆς Πρωτέως καὶ Ἡφαίστου Καβείρους τρεῖς καὶ Νύμφας τρεῖς Καβειρίδας

---

2 1 Καβασσός QPN: -οί R ὀθρυονέως RQ: ὀθρυνέως PN 2 καβησόθεν QP[ac] Hom. codd.: καβησσόθεν RP[pc]N 3 καβησσόν RPN: -ησὸν Q αἷμον QPN: ὅρμον R 4 συμφνεῖ R γάμων R 6 ἀληθέστερον RQP: ἀληθεστέραν N καππαδοκίας RQ: -ία PN 7 μαζακῶν R 8 ἐθνικῶς QPN: -ὸν R καβησόθεν QP: -σσόθεν RN 9 ἐθνικῶς QPN: -ά R καβησίτης PN: καβα- RQ **3** 2–3 Κάβειρος <ἡ> Καβειρία Meineke dub. in app. 5 καβειριεύς RQ: καβειριάς PN 5–7 καὶ νύμφαι – ἡ δὲ Καβειριάς om. N 6 κάδμιλος R: καδμίλος QP

2. Kabassos, Stadt in Kappadokien,[2] Heimat des Othryoneus. Homer (Il. 13,363) <sagt>: „ihn, aus Kabesos <stammend>,[3] der sich innerhalb <von Troia> aufhielt“. Hekataios aus Milet (FGrHist 1 F 169) hingegen sagt, Kabessos sei eine Stadt <zu Füssen> desjenigen <gelegen>, der vom thrakischen Haimosgebirge herunterkommt. Und zur Frechheit der Thraker passt auch die Hoffnung <des Othryoneus> auf die Ehe <mit Kassandra>.[4] Hellanikos (FGrHist 4 F 147 = fr. 147 Fowler) indessen <spricht von> Kabessos als einer Stadt in Lykien.[5] Apion (FGrHist 616 F 37) seinerseits meint, es handle sich in Wahrheit eher um ein Dorf in Kappadokien, zwischen Tarsos und Mazaka <gelegen>. Mazaka aber war der <frühere> Name des kappadokischen Kaisareia. Als Ersatz für das Ethnikon genügt das homerische <Herkunftsadverb> ‚aus Kabesos‘. Solche <als Ethnika verwendete Topika>, wie die Bezeichnung ‚aus Kameiros‘, sind nämlich häufig, <also> die Topika anstelle der Ethnika. <Wollte man trotzdem ein solches bilden,> könnte es Kabesier oder Kabesit <lauten>.

3. Kabeiria, Stadt im küstennahen Asien, deren Land die Kabeirier bewohnten.[6] Es gibt auch die Kabeirier, ein Volk in Boiotien, wie Pausanias im neunten Buch (9,25,6) <angibt>. Und <die Stadt> Kabeiria <heisst auch> Kabeiros,[7] wovon <man die Ethnika> Kabeiraier, Kabeiraierin und Kabeirit <ableitet>. Zudem gibt es <das Toponym> Kabeirion. Und davon <kommt> das Ethnikon Kabeirier, wie <der Ortsname> Byzantion Byzantier <ergibt>, und Kabeirierin ist das Femininum <dazu>. Auch <die Form> Kabeirieer existiert; zudem gibt es Nymphen, die Kabeiridinnen, <geboren> von Kabeiro, der Tochter des Proteus und der Anchinoë, von welcher Hephaistos den Kadmilos hatte. Es stammt demnach einerseits <das Femininum> Kabeiridin von Kabeiros, andererseits <das Femininum> Kabeiriadin von Kabeirios. Das Ktetikon <lautet> kabeirischer sowie kabeirische, und <ausserdem begegnet> als Verb <die Ableitung> καβειριάζεσθαι (‚die Mysterien der Kabeiren begehen‘).[8]

---

[2] TIB 8,2,576; Zgusta, Kleinasiatische Ortsnamen § 398.

[3] Wie der Überlieferungsbefund zeigt, respektierte Stephanos die homerische Orthographie mit einem σ, weshalb hier gegen Berkel auf harmonisierte Schreibung mit σσ verzichtet wird. Aus demselben Grund erledigt sich auch das von Meineke erwogene Doppellemma Καβασσός <ἢ Καβησσός>.

[4] Die Anspielung geht auf das anmassende Verhalten des Othryoneus, Il. 13,365–373.

[5] TIB 8,2,576.

[6] Über einen solchen Ort ist nichts bekannt. Hingegen nennt Pausanias (s. Anm. 8) das Gebiet der boiotischen Kabeirier Καβειραία (9,25,8).

[7] Als Herkunftsort der Kabiren nennt Stesimbrotos (FGrHist 107 F 20 = Str. 10,3,20 [C 472,20]) den phrygischen Berg Kabeiros; so auch Sch. A. R. 1,916–18b.

[8] Die bereits in der Antike herrschende Unsicherheit über Ursprung und Ort des Kabirenkultes widerspiegelt auch der Eintrag bei Stephanos; kommt hinzu, dass sich vom bestimmt reicheren Inhalt kaum mehr als das dürre Gerüst der Ethnika und ihrer Bildung erhalten hat. Als einzige Quelle wird Pausanias genannt, der im 25. Kapitel des Boiotien-Buches das Ka-

4 Καβελλιών· Μασσαλίας πόλις. Ἀρτεμίδωρος ἐν α̅ Γεωγραφουμένων (fr. 4 Stiehle). τὸ ἐθνικὸν κατὰ τὸν ἐπιχώριον τύπον Καβελλιωνήσιος ὡς Ταρρακωνήσιος, κατὰ δὲ τὸν Ἑλληνικὸν Καβελλιωνίτης
20 ὡς Ταρρακωνίτης.
346 **5 Καβύλη·** πόλις Θρᾴκης οὐ πόρρω τῆς τῶν Ἀστῶν χώρας. Πολύβιος ιγ̅ (13,10,10). τὸ ἐθνικὸν Καβυληνός ὡς Ἀρτακηνός.

6 Καδμεία· πόλις, Θηβῶν ἀκρόπολις, ἀφ' ἧς οἱ Θηβαῖοι Καδμεῖοι
5 καὶ Καδμείωνες καὶ Καδμεῖαι, καὶ τὸ τεῖχος Καδμεῖον.

7 Κάδοι· πόλις Μυσίας. Στράβων ιβ̅ (12,8,12 [C 576,21]) „καὶ Δορύλαιον πόλις καὶ Κάδοι“. τὸ ἐθνικὸν Καδηνός.

8 Καδούσιοι· ἔθνος μεταξὺ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Πόντου.
10 Στράβων ια̅ (11,7,1 [C 508,17]).

9 Κάδρεμα· πόλις Λυκίας, ἄποικος Ὀλβίων. ἑρμηνεύεται δὲ σίτου φρυγμὸς ἡ πόλις. τὸ ἐθνικὸν Καδρεμεύς.

10 Κάθαια· πόλις Ἰνδική. τιμῶσι δὲ τοὺς καλοὺς ἐπὶ τοσοῦτον, ὥστε βασιλέα τὸν κάλλιστον αἱροῦνται. ὁ πολίτης Καθαιαῖος.

---

4 Str. 4,1,3 et 11 (C 179,4 et 185,13) Καβαλλίων Ptol. Geog. 2,10,14 (2,10,8) Καβελλιὼν κολωνία; Plin. nat. 3,36 *oppida Latina Aquae Sextiae Salluviorum … Cabellio* **5** Harp. κ 1 Καβύλη· Δημοσθένης ἐν η̅ Φιλιππικῶν (8,44). χωρίον ἐστὶ τῆς Θρᾴκης, ὥς φησι Θεόπομπός τε ἐν μζ̅ (FGrHist 115 F 220) καὶ Ἀναξιμένης ἐν η̅ Φιλιππικῶν (FGrHist 72 F 12). οὗτος δέ φησιν αὐτὸ ἱδρῦσθαι πρὸς τῷ Τάξῳ ποταμῷ κατὰ μέσον τῆς Θρᾴκης **6** Str. 9,2,32 (C 412,21) ἐπεὶ δ' ἡ Καδμεία ἐκαλεῖτο Θῆβαι, ‚ὑπὸ Θήβας' εἰπεῖν ἀντὶ τοῦ ὑπὸ τῇ Καδμείᾳ οἰκοῦντας τὸν ποιητὴν τοὺς τότε Θηβαίους Paus. 9,5,6 τὴν πόλιν τὴν κάτω προσῴκισαν τῇ Καδμείᾳ καὶ Θήβας ὄνομα ἔθεντο κατὰ συγγένειαν τὴν Θήβης Phot. κ 10 Καδμεία· ἡ τῶν Θηβαίων ἀκρόπολις **7** Str. 12,8,12 (C 576,21) Δορύλαιον (codd. cett., δορυλάϊον X, δορύλαειον D[pc]) πόλεις καὶ Κάδοι cf. Eust. D. P. 815 (p. 361,1) Δορύλαιον, ὡς ὁ Γεωγράφος ἱστορεῖ, τὸ καὶ Δορυλάειον, κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην καὶ Δορύλλειον, διὰ διφθόγγου Ptol. Geog. 5,2,21 (5,2,16) ἐν μεθορίοις Μυσίας … Κάδοι **8** Str. 11,7,1 (C 508,10) Τοὺς δ' οὖν ἐν ἀριστερᾷ εἰσπλέοντι τὸ Κάσπιον πέλαγος παροικοῦντας νομάδας Δάας οἱ νῦν προσαγορεύουσι τοὺς ἐπονομαζομένους Πάρνους· … (508,23) τὸ μέντοι πλέον τῆς περὶ τὴν ὀρεινὴν παραλίας Καδούσιοι νέμονται; cf. etiam Str. 11,13,4. 6 (C 523,32 et 524,26) **10** de Cathaeis et eorum forma copiose Str. 15,1,30 (C 699,18), qui rem de rege pulcherrimo eligendo ex Onesicrito petit, βασιλέα τε γὰρ τὸν κάλλιστον αἱρεῖσθαί φησιν Ὀνησίκριτος (FGrHist 134 F 21) gentile Καθαῖοι apud Str. 15,1,30 (C 699,31); D. S. 17,91,2; Arr. An. 5,22

---

4 1 μασσαλίας πόλις RQP: πόλις μασσαλίας N 2 καβελλιωνήσιος V: καβελιω- RQPN 3 Καβελλιωνίτης Berkel: καβελιω- RQPN 4 ταρρακωνήτης R **5** 2 καβυληνός PN: καβαλη- RQ **6** 1 Καδμεία· πόλις, Θηβῶν ἀκρόπολις Ald.: Καδμεία· πόλις θ. ἀ. RQPN, Καδμεία, πόλις. <καὶ> Θ. ἀ. Berkel, Καδμεία πόλις· Θ. ἀ. Meineke θηβαῖοι R: ἀθηναῖοι QPN 2 Καδμείωνες Holste (cl. Eust. ad Δ 391 [I 771,19]): -μείονες RQPN Καδμεῖαι Meineke: -εῖοι RQPN, -ίοι Ald. Καδμεῖον Salmasius: καδμεία RQPN **8** 1 Καδούσιοι QPN: αδούσιοι R **9** 2 φρυγμὸς Salmasius: φυγμὸς RQPN, φιγμὸς Ald., ὀρυγμὸς G. Neumann, Sprache 8 (1962) 207 καδρεμεύς PN: ἀδραμεύς RQ **10** 1 Κάθαια R: Κάθαινα QPN 2 καθαιαῖος RQ: -ναῖος PN

4. Kabellion (Cavaillon), Stadt im Gebiet von Massalia.[9] Artemidor <erwähnt sie> im ersten Buch der *Geographumena* (fr. 4 Stiehle). Das Ethnikon <lautet> nach dem landesüblichen Typus Kabellionesier, <gebildet> wie Tarrakonesier, nach dem griechischen <Typus> hingegen Kabellionit, wie Tarrakonit.

5. Kabyle, Stadt in Thrakien,[10] nicht weitab vom Land der Aster <gelegen>. Polybios <erwähnt sie> im dreizehnten Buch (13,10,10). Das Ethnikon <lautet> Kabylener, wie Artakener.

6. Kadmeia, Stadt, Oberstadt von Theben, nach welcher die Thebaier Kadmeier und Kadmeionen sowie Kadmeierinnen <heissen>;[11] und das Bollwerk <nennt man> Kadmeion.

7. Kadoi, Stadt in Mysien.[12] Strabon <erwähnt sie> im zwölften Buch (12,8,12 [C 576,21]): „Und die Stadt Dorylaion und Kadoi".[13] Das Ethnikon <lautet> Kadener.

8. Kadusier, Volk <mit Siedlungsgebiet> zwischen dem Kaspischen und dem Schwarzen Meer.[14] Strabon <erwähnt sie> im elften Buch (11,7,1 [C 508,17]).

9. Kadrema, Stadt in Lykien,[15] Kolonie von Olbiern. Der Stadtname bedeutet soviel wie ‚Dörrweizen'. Das Ethnikon <lautet> Kadremeer.

10. Kathaia, indische Stadt.[16] <Die Einwohner> verehren die schönen <Menschen> dermassen, dass sie den schönsten <Mann> zum König wählen. Der Bürger <heisst> Kathaiaier.

---

birenheiligtum westlich von Theben beschreibt. Die genealogischen Angaben weisen aber auch auf Konsultation des grossen Kuretenexkurses von Strabon (10,3); zu beiden s. Similia. Was die einzelnen Formen der Ethnika betrifft, finden sich Καβειριεύς, Καβειρίς und Καβειριάς lediglich bei Stephanos; dasselbe gilt für das faktitive Verb καβειριάζεσθαι; dazu s. Debrunner, Griechische Wortbildungslehre § 269. Über den boiotischen Kabirenkult ausführlich Schachter, Cults of Boiotia 2,66–110.

[9] Inventory S. 160; Privitera, *Poleis Massalias*. Zur Wortstellung im Griechischen vgl. etwa St. Byz. α 55 Ἄδανα· Κίλισσα πόλις; α 72 Ἀζανοί· Φρυγίας πόλις; α 166 Ἄκρα· Ἰαπυγίας πόλις.

[10] TIB 6,292.

[11] Die einhellige Überlieferung Καδμεῖοι schafft eine unliebsame Doppelung; Meinekes Änderung zum Femininum fügt sich gut in den Kontext, doch nicht auszuschliessen ist die (freilich unbelegte) Form Κάδμιοι, wie sie Berkel aus Hsch. κ 60 (cod. H) heranzieht.

[12] Zgusta, Kleinasiatische Ortsnamen § 403–3; Cohen, Hell. settlements 1,213–214.

[13] Aus der einhelligen Überlieferung Δορύλαιον dürfen wir schliessen, dass Stephanos in der Strabonvorlage diese Namensvariante vorgelegen hat; das scheint auch die Bemerkung des Eustathios zu D. P. 815 (s. Similia) zu bestätigen. Dieser Befund widerrät, mit Meineke hier aus δ 115 Δορυλάειον zu konjizieren, zumal dort die Variante Δορύλαιον erwähnt wird.

[14] Zu diesem Volk s. RE Suppl. VII 316 f.

[15] Zgusta, Kleinasiatische Ortsnamen § 404; TIB 8,2,578.

[16] Zu den Kathaiaiern s. DNP 6,349.

16 **11 Καικῖνον**· χωρίον Ἰταλικόν. Φίλιστος $\overline{β}$ Σικελικῶν (FGrHist 556 F 13).

12 Καινίνη· πόλις Σαβίνων, ἡ ὑπὸ Ῥωμύλου ἁλοῦσα. τὸ ἐθνικὸν Καινινῆται.

19 **13 Καινοί**· ἔθνος Θρᾴκιον. Ἀπολλόδωρος ἐν Χρονικῶν $\overline{δ}$ (FGrHist 244 F 18).

347 3 **14 Καιρή**· πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Καιρητανός. εἴρηται ἐν τῷ περὶ Ἀγύλλης (α 51).

346 21 **15 Καινύς**· νῆσος πλησίον Πελωριάδος, τῆς κατὰ Σικελίαν ἄκρας, πρὸς δύσιν νεύουσα. ἔστι καὶ πόλις Ἰταλίας Καινύσιον.

347 5 **16 Καισάρεια**· μητρόπολις τῆς Καππαδοκίας, ἡ πρὶν Εὐσέβεια καὶ Μάζακα, ὡς Στράβων (12,2,7 [C 538,1]). ἔστι καὶ Παλαιστίνης. καὶ $\overline{γ}$ πρὸς τῇ Πανεάδι. τὸ ἐθνικὸν Καισαρεύς. εἰσὶ δὲ καὶ ἄλλαι τούτῳ τῷ ὀνόματι προσαγορευόμεναι.

17 Καλαβρία· χώρα πλησίον τῆς Ἰταλίας. ὁ οἰκήτωρ Καλαβρός, καὶ
10 Καλαβρά θηλυκῶς καὶ Καλαβρίς.

---

13 Str. 13,4,2 (C 624,25) ἐχειρώσατο δὲ καὶ Διήγυλιν τὸν Καινῶν βασιλέα στρατεύσας εἰς τὴν Θρᾴκην **14** Str. 5,2,3 (C 220,22) Ἄγυλλα γὰρ ὠνομάζετο πρότερον ἡ νῦν Καῖρε, καὶ λέγεται Πελασγῶν κτίσμα τῶν ἐκ Θετταλίας ἀφιγμένων· τῶν δὲ Λυδῶν – οἵπερ Τυρρηνοὶ μετωνομάσθησαν –; similiter D. H. 1,20,5 ἥ τε Καιρητανῶν (A, καιρι- Bb) πόλις, Ἄγυλλα δὲ τότε καλουμένη, … καὶ ἄλλαι τινές, ἃς ἀνὰ τὸν χρόνον ὑπὸ Τυρρηνῶν ἀφῃρέθησαν **15** Str. 6,1,5 (C 257,3) ἡ Καῖνυς …, ἡ τελευταία ποιοῦσα ἄκρα τὰ στενὰ τοῦ πορθμοῦ πρὸς τὴν ἐκ τῆς Σικελίας ἄκραν τὴν Πελωριάδα· …, νεύει δὲ ἐπὶ θερινὰς ἀνατολάς, καθάπερ ἡ Καῖνυς πρὸς τὴν ἑσπέραν **16** St. Byz. κ 2 Μάζακα δὲ ἡ Καππαδοκίας ἐκαλεῖτο Καισάρεια et μ 9 Μάζακα· πόλις Καππαδοκίας, ἡ νῦν Καισάρεια; Str. 12,2,7 (C 538,1) ἐν δὲ τῇ Κιλικίᾳ καλουμένῃ τὰ Μάζακα ἡ μητρόπολις τοῦ ἔθνους. καλεῖται δ’ Εὐσέβεια; Ptol. Geog. 5,6,15 (5,6,14) Στρατηγίας Κιλικίας … Μάζακα (XA, μάζα Ω) ἡ καὶ Καισάρεια Caesarea Palaestinae eadem atque Καισάρεια Στράτωνος (Ptol. Geog. 5,16,2 [5,15,2]), Στράτωνος πύργος (St. Byz. δ 150,36), *Stratonis turris* (Plin. nat. 5,69) Καισάρεια Πανιάς/Πανεάς vel Φιλίππου in Phoenicum regione sita apud Ptol. Geog. 5,15,21 (5,14,17); Eus. HE 7,17; Jos. saepius, cf. imprimis BJ 2,168 ὁ Φίλιππος, ὁ μὲν πρὸς ταῖς τοῦ Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν; Plin. nat. 5,74 *Paneas, in qua Caesarea* **17** gentile femininum Καλαβρά non invenitur nisi Jo. Lyd. Mens. 3,10 ἐν τῇ λεγομένῃ Καλαβρᾷ βασιλικῇ; sed D. P. 378 Καλαβρίδος … γαίης

---

11 1 Καικῖνον R: Καίκινον QPN **12** 1 Καινίνη R: Καινίτη QPN 2 Καινινῆται Berkel: καινίται RQPN, Καινινῖται Salmasius **14** post **15** transp. Meineke **14** 1 τυρηνίας Q Καιρητανός Xylander: καιριτανός RQPN, Καιρε- St. Byz. α 51 2 ἀγύλλης RQP: ἀγγύλης N **15** 1 νήσιον R[ac] **16** 2 Μάζακα Salmasius (cl. supra κ 2; infra μ 9): μάζα RQPN **17** 1 τῆς om. QPN 2 θηλυκῶς R: -κὸν QPN

11. Kaikinon, Kastell in Italien.[17] Philistos <erwähnt es> im zweiten Buch der *Sikelika* (FGrHist 556 F 13).

12. Kainine (Caenina), Sabinerstadt, <nämlich> die von Romulus eroberte. Das Ethnikon <lautet> Kainineten.[18]

13. Kainer, thrakisches Volk.[19] Apollodor <erwähnt sie> im vierten Buch der *Chronik* (FGrHist 244 F 18).

14. Kaire (Caere), tyrrhenische Stadt.[20] Das Ethnikon <lautet> Kairetaner.[21] <Von dieser Stadt> ist im Artikel über Agylla (α 51) die Rede gewesen.

15. Kainys, Insel nahe beim Pelorischen Landzipfel, dem Vorgebirge, <welches> aus Sizilien <hinausragt>, nach Westen blickend.[22] Es gibt auch eine Stadt in Italien <namens> Kainysion.[23]

16. Kaisareia, Hauptstadt Kappadokiens, die vormals Eusebeia und Mazaka <hiess>, wie Strabon (12,2,7 [C 538,1]) <angibt>. Es gibt auch <ein Kaisareia> in Palästina sowie ein drittes bei <der Landschaft> Paneas.[24] Das Ethnikon <lautet> Kaisareer. Es gibt aber noch weitere Städte, die mit diesem Namen bezeichnet werden.[25]

17. Kalabria, Land in der Nachbarschaft Italiens. Der Bewohner <heisst> Kalabrer, und im Femininum <begegnen sowohl> Kalabrerin als auch Kalabrische <Erde>.[26]

---

[17] Nicht identifizierter Ort; BTCGI 4,238–243.

[18] Aus welchem Gewährsautor Stephanos hier schöpfte, ist nicht mehr festzustellen. Entsprechend unsicher bleibt die Orthographie des Ethnikons, entweder Καινινῖται (so D. H. 2,35,6; Nic. Dam. FHG III 411 F 70,17) oder wahrscheinlicher Καινινῆται (so Plu. Marc. 8,6; Plu. Rom. 16,2. 7 und 17,1, wo die Hss jeweils κενι- überliefern). Zum Ort s. DNP 2,906 (mit weiterführender Literatur).

[19] RE X 2,1505 f.

[20] BTCGI 5,251–266 (Cerveteri).

[21] Das Ethnikon erscheint viermal bei Dionysios von Halikarnass (1,20,5; 3,58,1; 4,27,2 und 6), wobei die Hss in der Mehrzahl Καιρητανοί (hier hingegen Καιρι- RQPN) überliefern; für ähnliche orthographische Varianten s. Anm. 18.

[22] Die Auskunft geht auf Strabon (6,1,5) zurück, doch wird das bruttische Vorgebirge hier irrigerweise als Insel bezeichnet. Im Gegensatz zu Καινύς hier ist der Name bei Strabon nicht einhellig überliefert, deutet aber dort im Überlieferungsbefund eher auf ein Paroxytonon (Καῖνυς Korais).

[23] Vgl. κ 61.

[24] Die Formulierung könnte auf Herkunft aus Iosephos (s. Similia) schliessen lassen.

[25] Dazu s. RE III 1,1288–1295 (hier Nr. 5, Nr. 9 und Nr. 10).

[26] Wie bereits Berkel anmerkte, geht die auffällige Bezeichnung als Nachbarland Italiens (und nicht als dessen Bestandteil) wohl letztlich auf Strabon zurück (6,3,1 [C 277,33]); gewissermassen eine Halbinsel (ἔστι δέ πως χερρονησίζουσα) nennt er das Gebiet, welches durch die Landenge zwischen Brindisi und Tarent abgeriegelt wird (τῷ ἀπὸ Βρεντεσίου μέχρι Τάραντος ἰσθμῷ κλειομένη).

18 **Καλάθη**· πόλις οὐ πόρρω τῶν Ἡρακλείων στηλῶν. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 39). Ἔφορος (FGrHist 70 F 171) δὲ Καλάθουσαν αὐτήν φησιν. ἔστι καὶ τοῦ Πόντου Καλάθουσα. ὁ πολίτης τῆς Καλάθης Καλαθῖνος ὡς Ἀγαθῖνος, τῆς δὲ Καλαθούσης Καλαθούσιος ὡς Νύσιος.

16 **19** **Καλάμαι**· πόλις Πελοποννήσου. Παυσανίας δ̅ (4,31,3).

20 **Καλαμένθη**· ἥτις καὶ Καλαμίνθη, πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει (FGrHist 1 F 348). κρεῖττον οὖν ὡς Ἡρωδιανὸς (1,312,22; 2,529,3) διὰ τοῦ ι πόλις Φοινίκων.

20 **21** **Κάλαρνα**· πόλις Μακεδονίας, ὡς Λούκιος ὁ Ταρραῖος (fr. 6 Linnenkugel). τὸ ἐθνικὸν Καλαρναῖος.

22 **Καλάσιρις**· μοῖρα Αἰγύπτου. Ἡρόδοτος β̅ (2,164,2). οἱ καὶ Καλασίριοι καὶ Καλασιρίαι.

23 **Καλατίαι**· *γένος Ἰνδικόν*. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 298).

25 **24** **Καλαύρεια**· *νησίδιον* πρὸς τῇ Κρήτῃ, *ὅσον* λ̅ *σταδίων* <*ἔχον τὸν*
348 *κύκλον*>, ἀπὸ Καλαύρου τοῦ Ποσειδῶνος. ἐκαλεῖτο καὶ Εἰρήνη. ὁ πολίτης Καλαυρείτης.

---

18 Ps.-Arc. 121,14 Τὰ εἰς θη μονογενῆ ὑπερδισύλλαβα βαρύνεται· Καλάθη (πόλις) **19** Paus. 4,31,3 κώμη Καλάμαι; Plb. 5,92,4 τὰς … Καλάμας, χωρίον τι τῶν Μεσσηνίων **22** Hdt. 2,164,2 οἱ δὲ μάχιμοι αὐτῶν (sc. τῶν Αἰγυπτίων) καλέονται μὲν Καλασίριες Phot. κ 108 Καλάσιρις· … δῆμος πολεμικός. οὕτως Αἰγύπτιοι, cf. etiam Suid. κ 202, Zonar. p. 1143 **23** Hdt. 3,38,4 Ἰνδῶν τοὺς καλεομένους Καλλατίας **24** Str. 8,6,14 (C 373,30) Καλαυρία νησίδιον ὅσον τριάκοντα σταδίων, cf. etiam 8,6,3 (C 369,6) Καλαυρία νῆσος κύκλον ἔχουσα τριάκοντα σταδίων nominis forma Καλαύρεια etiam apud A. R. 3,1243; Harp. κ 13 Καλαύρεια· … ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης (FGrHist 140 F 9), ex quo Phot. κ 110; IG IV 752,18 de Calauro eponymo nihil notum de antiqua appellatione Irene cf. Plu. Moralia 295e τὴν Καλαύρειαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν

---

18 4 νούσιος (ο supra scr.) R **19** πελοπονήσου QPN **20** 2 Ἡρωδιανὸς Meineke: ἡρόδοτος RQPN **21** 1 Ταρραῖος Xylander: ταραῖος RQPN 2 καλαρναίος R **23** Καλατίαι (ex -τίκαι) R **24** 1 τῇ κρήτῃ RQPN: Τροιζῆνι dub. Meineke in app. 1–2 ἔχον τὸν κύκλον add. Holste (e Str.)

18. Kalathe, Stadt, nicht weitab von den Säulen des Herakles <gelegen>. Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 39). Ephoros (FGrHist 70 F 171) hingegen nennt sie Kalathusa. Es gibt auch am Schwarzen Meer <eine Stadt namens> Kalathusa.[27] Der Bürger von Kalathe <heisst> Kalathiner, wie <man von Agathe> Agathiner <sagt>; von Kalathusa hingegen <bildet man> Kalathusier, wie Nysier.[28]

19. Kalamai (Kalamata), Stadt auf der Peloponnes.[29] Pausanias <erwähnt sie> im vierten Buch (4,31,3).

20. Kalamenthe, welches auch Kalaminthe <heisst>, Stadt in Libyen. Hekataios <erwähnt sie> in der *Periegese* (FGrHist 1 F 348) – besser, wie Herodian (1,312,22; 2,529,3)[30] <empfiehlt, schreibt man den Namen> mit ι –, eine Phönizierstadt.

21. Kalarna, Stadt in Makedonien, wie Lukios der Tarrhaier (fr. 6 Linnenkugel) <angibt>. Das Ethnikon <lautet> Kalarnaier.

22. Kalasiris, Kaste in Ägypten. Herodot <erwähnt sie> im zweiten Buch (2,164,2). Die Angehörigen <heissen> auch Kalasirier und Kalasiriai.[31]

23. Kalatier, indischer Stamm.[32] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 298).

24. Kalaureia, Inselchen bei Kreta,[33] von ungefähr dreissig Stadien Umfang. <Den Namen hat es> von Kalauros, dem Sohn des Poseidon. <Früher> hiess es auch Eirene. Der Bürger <heisst> Kalaureit.

---

[27] Die Orte können nicht lokalisiert werden. An die den Syrten vorgelagerte Insel Καλάθη (Ptol. Geog. 4,3,44 [4,3,12]) bzw. *Galata* (Mela 2,120; Plin. nat. 5,42) ist wohl kaum zu denken. Ebenso unsicher ist eine südspanische Örtlichkeit Kalathusa, wie sie der Barrington Atlas (Karte 26 E5) in Folge von Tovar, Völker und Städte 1,73 verzeichnet. Und Plin. nat. 4,74 zählt sowohl *Calathusa* als auch *Calathe* unter unbewohnten Inseln der Nordägäis auf.

[28] Die Analogie hinkt etwas; mag sein, dass nach keltischen bzw. iberischen Entsprechungen zu suchen ist, vgl. etwa α 117 Αἰδούσιοι, β 39 Βαργούσιοι, ferner Hdn. 1,121,8.

[29] Inventory S. 556.

[30] Zur Verwechslung von Herodian/Herodot in der Überlieferung s. α 4 Anm. 9. Zum nicht weiter bekannten Ort s. Braun, Hecataeus' knowledge 337.

[31] Vgl. St. Byz. ε 120. Offenbar ist vom ursprünglichen Artikel nicht mehr viel geblieben. Erstens gibt der Ausdruck μοῖρα Αἰγύπτου nur unklar wieder, dass es sich um eine ägyptische Kriegerkaste handelt. Und zweitens bleibt, wie Meineke bemerkt, bei Καλασιρίαι (RQPN) unsicher, ob hier an eine Variante des Ethnikons (Καλασιρίας) gedacht ist oder an das Femininum (Καλασίριαι) zu Καλασίριοι.

[32] DNP 6,152 (mit weiterführender Literatur).

[33] Inventory Nr. 360. Unerfindlich ist, weshalb die Insel mit dem bekannten Poseidonheiligtum aus dem Saronischen Golf in die Nähe von Kreta versetzt wurde, es sei denn durch Überlieferungsfehler (daher πρὸς Τροιζῆνι, wie Meineke vermutet).

25 Κάλβιος· κρήνη Λυκίας, ἣν καὶ Καλαινόν φασι. τινὲς δὲ αὐτὴν καὶ διὰ τοῦ μ φασί.

5 **26 Καλὴ ἀκτή**· πόλις Σικελῶν. Εὔδοξος δ̄ Γῆς περιόδου (fr. 370 Lasserre). ἔστι δὲ <ὡς> Μεγάλη κώμη. ἐκ τῶν δύο δὲ ἡ παραγωγή, Μεγαλοκωμήτης Καλακτίτης ἢ Καλοακτίτης διὰ τοῦ ι. ἐπεὶ καὶ παρὰ τὸ Ἀκτή (α 176) <Ἀκτίτης καὶ> Ἀκτικός καὶ Ἀττικός· Ἀκτή γὰρ ἡ Ἀττική. ἢ Καλοακταῖος καὶ Καλοακταία θηλυκόν, ἢ Καλοάκτιος ὡς Πανάκτιος καὶ ἐπάκτιος. 5

11 **27 Κάληρος**· οὕτως ἐκαλεῖτο ἡ Ἀλωπεκόνησος (α 242) ἀπὸ Καλήρου βασιλέως, Ἀλωπεκόνησος δὲ ὅτι ἐκεῖ εἶδον σκύμνους φέρουσαν καὶ κατατιθεῖσαν ἀλώπεκα. τινὲς δὲ ὅτι Κάλαρος ἐκαλεῖτο ἡ πόλις.

15 **28 Καλησία**· πόλις Αὐσονική. Διονύσιος ιε̄ Ῥωμαϊκῆς ἀρχαιολογίας (vol. 4, p. 275 Jacoby). τὸ ἐθνικὸν Καλησιανός, ὡς αὐτός.

29 Καλλάτηβος· πόλις Λυδίας. Ἡρόδοτος ζ̄ (7,31). τὸ ἐθνικὸν Καλλατήβιος.

30 Κάλλατις· πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου, Στράβων ζ̄ 20 (7,6,1 [C 319,6]). ἐν ᾗ κάλαθος εὑρέθη ἐοικὼς τοῖς Θεσμοφοριακοῖς. ὁ 349 πολίτης Καλλατιανός, ὡς Τραλλιανός Σαρδιανός· ἀφ᾿ οὗ Ἴστρος Καλλατιανὸς περὶ τραγῳδίας γράψας καλὸν βιβλίον. ἔοικε δ᾿ εἶναι ἀπὸ τοῦ Καλλατία ὡς Ὀλβιανός, εἰ μὴ ἀπὸ τῆς ἰωνικῆς γενικῆς γέγονε τῆς Καλλάτιος. 5

---

25 Ptol. Geog. 5,2,11 (5,2,8) Κάλβιος ποταμοῦ ἐκβολαί **26** Hdt. 6,22,2 Ζαγκλαῖοι γὰρ οἱ ἀπὸ Σικελίης τὸν αὐτὸν χρόνον τοῦτον πέμποντες ἐς τὴν Ἰωνίην ἀγγέλους ἐπεκαλέοντο τοὺς Ἴωνας ἐς Καλὴν Ἀκτήν, βουλόμενοι αὐτόθι πόλιν κτίσαι Ἰώνων· ἡ δὲ Καλὴ αὕτη Ἀκτὴ καλεομένη ἔστι μὲν Σικελῶν; D. S. 12,8,2 Sil. 14,251 *Calacte*; Cic. Verr. II 3,101 *Calactae* gentilia non inveniuntur nisi Καλακτῖνοι apud D. S. 12,29,1 **29** Hdt. 7,31 ὡς δὲ ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν Λυδίην, … διαβῆναι τὸν Μαίανδρον ποταμὸν πᾶσα ἀνάγκη γίνεται καὶ ἰέναι παρὰ Καλλάτηβον (v.l. Καλλάτιβον) πόλιν **30** Str. 7,6,1 (C 319,6) πόλις Κάλλατις …, Ἡρακλεωτῶν ἄποικος urbis nomen Καλλατία invenitur in nummis, cf. LAGM 2,131 deductionem a genitivo Καλλάτιος factam memorat St. Byz. α 262

---

25 1 καὶ post αὐτὴν om. R **26** 1 Σικελῶν Holste (cl. Hdt. 6,22,2): κελτῶν RQ, κρητῶν PN δ̄ RQPN: ϛ̄ mavult Meineke in app. 2 ὡς add. Holste 3 Καλακτίτης Holste: καὶ ἀκτίτης RQPN 4 Ἀκτίτης καὶ add. Meineke (cf. St. Byz. 64,15) Ἀκτή γὰρ ἡ Ἀττική om. R ἀκτή V: ἀκτική QPN **27** 1 Κάληρος RQ: Κάλα- PN 1–2 ἀλωπεκόνησος bis Q: ἀλωπεκώνησος bis R, ἀλωπεκία νῆσος … ἀλωπεκόνησος PN 2 κατατιθοῦσαν R 3 Κάλαρος Berkel: κάληρος N, δεκάληρος RQP **28** novum tmema indicant Q[pc]PN: non indicant RQ[ac](καλησία πο in superioris tmematis fine cancellatis) **29** 1 Καλλάτηβος Holste (ex Hdt.): Καλάτιβος QPN, Καλάτιβα R λυδίας Q[pc](supra scr. alt. m.): λιβύης RQ[ac]PN Καλλατήβιος Berkel: καλατίβιος RQPN **30** 1 Καλλ- et hic et in sequentibus Westermann (cf. St. Byz. 84,11): Καλ- RQPN 2 ἐν ᾗ Vossius: ἧς RQPN ἐοικὼς Pinedo: ἐοικυῖα RQPN 4 βυβλίον R

25. Kalbios, Quelle in Lykien,[34] welche man auch Kalainos nennt. Einige jedoch behaupten, <man schreibe> sie auch mit μ (d. h. Κάλμιος).[35]

26. Kale Akte, Sikulerstadt.[36] Eudoxos <erwähnt sie> im vierten Buch der *Erdbeschreibung* (fr. 370 Lasserre). Es handelt sich <um eine Namensform> wie Megale Kome. Also <besteht> die Ableitung aus beiden Teilen, <nämlich> Megalokomet, Kalaktit oder Kaloaktit, mit ι <vor der Endung>, da auch von Akte (α 176) Aktit und Aktiker sowie Attiker <gebildet werden>; denn Akte ist dasselbe wie Attika. Oder <man sagt auch> Kaloaktaier und Kaloaktaierin als Femininum oder Kaloaktier wie Panaktier und ἐπάκτιος (‚an der Küste befindlich'‘).

27. Kaleros, so hiess <die Stadt> Alopekonesos (α 242),[37] nach einem König <namens> Kaleros; Alopekonesos <heisst sie> aber <deshalb>, weil man dort eine Füchsin beobachtet hat, welche ihre Jungen herantrug und sie <an Ort und Stelle> ablegte. Einige sagen jedoch, dass die Stadt den Namen Kalaros hatte.

28. Kalesia, ausonische Stadt.[38] Dionysios <erwähnt sie> im fünfzehnten Buch der *Römischen Altertumskunde* (Bd. 4, S. 275 Jacoby). Das Ethnikon <lautet> Kalesianer, wie er selbst <zu erkennen gibt>.

29. Kallatebos, Stadt in Lydien.[39] Herodot <erwähnt sie> im siebten Buch (7,31). Das Ethnikon <lautet> Kallatebier.

30. Kallatis, Kleinstadt an der Küste des Schwarzen Meeres.[40] Strabon <erwähnt sie> im siebten Buch (7,6,1 [C 319,6]). In ihr hat man einen Korb aufgefunden, der jenen gleicht, welche man an den Thesmophorien verwendete.[41] Der Bürger <heisst> Kallatianer, wie Trallianer und Sardianer; daher <heisst> Istros, der ein schönes Buch über die Tragödien geschrieben hat, <mit Beinamen> der Kallatianer. Anscheinend ist <das Ethnikon> aber von <der Namensform> Kallatia <abgeleitet>, wie Olbianer <von Olbia kommt>, es sei denn, dass es aus dem ionischen Genitiv Καλλάτιος entstanden ist.

---

[34] TIB 8,2,586.

[35] Keiner dieser Namen ist sonst belegt, und im Licht von Ptol. Geog. 5,2,11 (5,2,8) Κάλβιος stellt sich die Frage, ob es durch die Textverkürzung hier nicht zu einer Verballhornung des Flussnamens Κάλβις (Str. 14,2,2 [C 651,24]) gekommen ist. Zum Wechsel β/μ s. Schwyzer, Griech. Grammatik 1,259.

[36] Inventory S. 177; BTCGI 5,8–15.

[37] Zur Orthographie des Toponyms s. α 242 Anm. 347.

[38] BTCGI 4,281–286. Bekannt ist die Aurunkerstadt unter dem Namen Κάλης (z. B. Str. 5,4,11 [C 249,13]; Ptol. Geog. 3,1,68 [3,1,59]), bzw. *Cales* (z. B. Cic. Att. 7,14; Verg. Aen. 7,728). Entsprechendes Ethnikon ist Καληνός (z. B. Str. 5,3,9 [C 237,22]; Plb. 3,91,5).

[39] Zgusta, Kleinasiatische Ortsnamen § 410.

[40] Inventory Nr. 686; ausführlich Ancient Greek colonies in the Black Sea II 1,239–286. In der Regel schreibt sich das Toponym mit -λλ-, wobei die Überlieferung nicht selten schwankt; so auch bei Strabon (7,5,12; 7,6,1), was die Schreibung mit -λ- hier erklären könnte, während in α 262 die Paradosis -λλ- gibt.

[41] Diese Namensetymologie ist sonst nicht bekannt; vgl. hingegen Et. Gud. 296,1 Sturz Καλλάτις (sic) … ὠνομάσθη δὲ ἀπὸ τῆς παρακειμένης αὐτῇ λίμνης· οὕτως Ὦρος.

31 Καλλίαι· πόλις μία τῆς ἐν Ἀρκαδίᾳ τριπόλεως. ὁ πολίτης Καλλιεύς, ὡς Παυσανίας (8,27,4). ἔστι καὶ χωρίον πλησίον Τάραντος.

32 Καλλίαρος· πόλις Λοκρῶν, ἀπὸ Καλλιάρου τοῦ Ὀδοιδόκου καὶ Λαονόμης, ὡς Ἑλλάνικος ἐν α̅ Δευκαλιωνείας (FGrHist 4 F 13 = fr. 13 Fowler), Στράβων δ' ἐν θ̅ (9,4,5 [C 426,20]) παρὰ τὸ εὐήροτον αὐτὴν εἶναί φησι. Καλλίαρα οὐδετέρως. τὸ ἐθνικὸν Καλλιαρεῖς ὡς Μεγαρεῖς.

33 Καλλιόπη· πόλις Παρθυαίων. Πολύβιος ι̅ (10,31,15). τὸ ἐθνικὸν Καλλιοπεύς, ὡς Παρθενόπη Παρθενοπεύς.

34 Καλλίπολις· πολίχνιον Λαμψάκου ἐν τῇ περαίᾳ τῆς Χερρονήσου ἐπ' ἀκτῆς κειμένη, ὡς Ἀλέξανδρος ἐν τῷ Περὶ Βιθυνίας (FGrHist 273 F 13). β̅ κατὰ τὸν Ἀνάπλουν. γ̅ πόλις Σικελίας. δ̅ πόλις Καρίας. οἱ πολῖται πασῶν Καλλιπολῖται.

---

31 Paus. 8,27,4 ἐκ δὲ τῶν συντελούντων ἐς Ὀρχομενὸν Θεισόα, Μεθύδριον, Τεῦθις· προσεγένετο δὲ καὶ Τρίπολις ὀνομαζομένη, Καλλία καὶ Δίποινα καὶ Νώνακρις et 27,7 τῶν δὲ ἄλλων τῶν κατειλεγμένων πόλεων … τὰς δὲ ἔχουσιν οἱ Μεγαλοπολῖται κώμας … Καλλιὰς **32** Eust. ad B 531 (I 426,4) Καλλίαρος δὲ ἀπὸ Καλλιάρου, φασίν, ὠνόμασται, υἱοῦ Ὀδοιδόκου καὶ Λαονόμης. οἱ δὲ Καλλίαρα οὐδετέρως φασὶ διὰ τὸ εὐήροτον τῆς ἐκεῖ γῆς. Ἐθνικὸν δὲ ταύτης οἱ Καλλιαρεῖς de genealogia cf. Sch. D ad B 531 ἀπὸ Καλλιάρου τοῦ Ὀποῦντος **33** App. Syr. 298,4 ἐν δὲ τῇ Παρθυηνῇ … Καλλιόπη; Plin. nat. 6,44 et 113 **34** Str. 13,1,18 (C 589,12) ἐν δὲ τῇ περαίᾳ τῆς Χερρονήσου πολίχνιόν ἐστι Καλλίπολις· κεῖται δ' ἐπ' ἀκτῆς ἐκκειμένης πολὺ πρὸς τὴν Ἀσίαν κατὰ τὴν Λαμψακηνῶν πόλιν, cf. etiam 7 fr. 21a,26; Procop. Aed. 4,10,22 de Callipoli in Sicilia sita cf. Ps.-Scymn. 285–286 ἐπὶ τοῦ δὲ πορθμοῦ κειμένη τῆς Σικελίας, | Ζάγκλη, Κατάνη, Καλλίπολις; cf. etiam Str. 6,2,6 (C 272,29) de Cariae urbe cf. Arr. An. 2,5,7 gentile Καλλιπολῖται apud Hdt. 7,154,2

---

31 1 ἐν om. PN Ἀρκαδίᾳ Berkel: αἰτωλία RQPN 2 Παυσανίας Holste: πανίας RQ, σπανίας PN τάραντος RQ: ταράν- P, ταλάν- N **32** 2 λαονόμης QPN: λαοδ- R 3–4 αὐτὴν εἶναι. φασὶ <καὶ> Καλλίαρα οὐδετέρως Meineke in app. **34** 1 χερρονήσου Q: χεροννR, χερον- PN 3 β̅ RPN: δευτέρω Q γ̅ πόλις et δ̅ πόλις Xylander: τρίπολις et τετράπολις RQPN 4 καλλιπολῖται RQ: -πολίται PN

31. Kalliai, eine Stadt der Tripolis in Arkadien.[42] Der Bürger <heisst> Kallieer, wie Pausanias (8,27,4) <angibt>.[43] Es gibt auch eine Örtlichkeit <dieses Namens> in der Nähe von Tarent.

32. Kalliaros, Stadt von <Opuntischen> Lokrern,[44] nach Kalliaros <benannt>, dem Sohn des Hodoidokos und der Laonome, wie Hellanikos im ersten Buch der *Deukalionie* (FGrHist 4 F 13 = fr. 13 Fowler) <angibt>; Strabon sagt jedoch im neunten Buch (9,4,5 [C 426,20]), der Name der Stadt komme von der leichten Pflügbarkeit <des dortigen Erdbodens>.[45] <Auch gibt es> Kalliara, im Neutrum gebraucht. Das Ethnikon <lautet im Plural> Kalliareer, wie Megareer.

33. Kalliope, Stadt von Parthyaiern (d. h. Parthern).[46] Polybios <erwähnt sie> im zehnten Buch (10,31,15). Das Ethnikon <lautet> Kalliopeer, wie <zu> Parthenope (Neapel) Parthenopeer.

34. Kallipolis, Kleinstädtchen im Einzugsgebiet von Lampsakos, gegenüber an der Steilküste der Chersones gelegen, wie Alexander (Polyhistor) in seiner Schrift *Über Bithynien* (FGrHist 273 F 13) <angibt>.[47] Ein zweites <Kallipolis befindet sich> bei Anaplus;[48] eine dritte Stadt <dieses Namens> auf Sizilien,[49] eine vierte in Karien.[50] Die Bürger all <dieser Städte heissen> Kallipoliter.[51]

---

[42] Inventory S. 507.

[43] Der Artikel muss durch die Verkürzung arg gelitten haben; dies zeigen sowohl die fehlerhafte Überlieferung als auch der Verweis auf Pausanias. In der Tat erwähnt der Perieget im Zusammenhang mit der arkadischen Tripolis die Stadt Καλλία (8,27,4) und kurz darauf (27,7) nochmals in der Variation Καλλιαί. Wo er hingegen von Καλλιεῖς spricht (10,18,7 und 22,3–7), handelt es sich um die Bewohner der aitolischen Stadt Κάλλιον. Mit grosser Wahrscheinlichkeit hat Stephanos in dem Artikel neben dem arkadischen Καλλία auch das ätolische Κάλλιον erwähnt; allerdings lässt sich nicht mehr nachprüfen, ob Καλλιεύς auch das zugehörige Ethnikon der arkadischen Stadt darstellt.

[44] Inventory S. 666.

[45] Besser verankert ist wohl die Abstammung des Kalliaros von Opus, wie sie Sch. D ad Β 531 überliefert. Über die Ableitung des Namens von der leichten Pflügbarkeit des Bodens (also vom Stamm ἀρο-) schweigt sich die lückenhafte Überlieferung an der besagten Strabonstelle aus und wird aus Stephanos ergänzt.

[46] Cohen, Hell. settlements 3,216.

[47] Die Ortsbestimmung deckt sich fast wörtlich mit Str. 13,1,18; „was A[lexander] über Kallipolis beibrachte, ist fortgefallen", so Jacoby, Kommentar (zu 273 F 13) S. 267. Der Ort war unter Justinian zu einer Festung ausgebaut worden und erlangte später grosse strategische Bedeutung, s. TIB 12,425–431; ferner Inventory S. 1109.

[48] Dieser Ort ist sonst nicht bekannt; s. TIB 12,431, ferner Inventory Nr. 744. Zu Anaplus (vgl. Procop. Aed. 1,5,1; St. Byz. δ 35) s. TIB 12,248 f.

[49] Inventory Nr. 27; BTCGI 7,544–548.

[50] Inventory S. 1109; DNP 6,199 Nr. 1 (mit weiterführender Literatur).

[51] Zur verallgemeinerten Bildung s. Fraser, Ethnic terminology 279.

35 Κάλπη· πόλις Βιθυνῶν. Θεόπομπος η̅ Ἑλληνικῶν (FGrHist 115 F 15). ἔστι καὶ Κάλπης λιμήν. τὸ ἐθνικὸν Καλπεύς ὡς Σινωπεύς. καὶ Καλπῖνος ἔστιν ὡς Πεύκη Πευκῖνος. τοῦ δὲ λιμένος ἔστι Καλπολιμενίτης. <***> καὶ τὴν πόλιν Κάρπειαν <***> τινὲς τούτους Καρπητανούς ὡς Καλπιανούς φασι.

36 Καλύβη· πόλις Θρᾴκης, ἄποικος Μακεδόνων. τὸ ἐθνικὸν Καλυβῖται ἢ Καλυβεῖς, ὡς τῆς Ἀλύβης Ἀλυβεῖς.

37 Κάλυδνα· νῆσος. καὶ πόλις Θήβη, ἀπὸ Καλύδνου παιδὸς Οὐρανοῦ. λέγεται καὶ Καλυδνός. ὁ πολίτης Καλυδναῖος, καὶ Καλυδνίς τὸ θηλυκόν, καὶ Καλυδνεὺς ὁ Ἀπόλλων καὶ Καλύδνιος, ὡς Ἀνδροτίων ς̅ Ἀτθίδος (FGrHist 324 F 27).

38 Καλυδών· Αἰτωλίας πόλις, ἀπὸ Καλυδῶνος τοῦ Ἐνδυμίωνος ἢ τοῦ Αἰτωλοῦ. τὸ ἐθνικὸν Καλυδώνιος καὶ Καλυδωνία.

---

35 Κάλπης λιμήν apud X. An. 6,4,1 etc.; Arr. Peripl. M. Eux. 12,4 et 5; 13,1; Anon. Peripl. M. Eux. 5 (8r46 Diller) **36** Str. 7,6,2 (C 320,26) ὑπέρκειται δὲ τοῦ Βυζαντίου τὸ τῶν Ἀστῶν ἔθνος, ἐν ᾧ πόλις Καλύβη **37** Sch. Lyc. 1209a ἄξει Καλύδνου· τὸ τεῖχος τὸ ὑπὸ Καλύδνου κτισθέν. λέγει δὲ τὰς Θήβας· Κάλυδνος γάρ τις ἐβασίλευσε πρῶτος, μεθ' ὃν Ὤγυγος **38** Eust. ad B 640 (I 484,17) Ἡ δὲ Καλυδὼν ἀπὸ Καλυδῶνος κληθῆναι λέγεται, ὃς καὶ αὐτὸς Ἐνδυμίωνος υἱὸς ἢ Αἰτωλοῦ, similiter ad I 530 (II 790,16); cf. etiam Apollod. 1,7,7

---

35 1 Κάλπη P: Κάλπαι RQN 2 Κάλπης λιμήν Meineke in app.: λιμὴν κάλπης R, λ. κάλπη QPN 3 ἔστιν om. PN ἔστι Meineke in app.: ὡς RQ, om. PN 4 lacc. indic. Meineke κάρπειαν Q^{pc}: κάλπειαν RQ^{ac}PN Καρπητανοὺς Salmasius (cl. infra κ 98): καρπι- RQPN 5 Καλπιανούς H. Valesius: καλεπιανοὺς RQPN **36** 1 καλυβῖται RQ: -ίται PN **37** 1 Θήβη susp. Meineke: θήβης RQPN 3 καλλιδνεὺς R Ἀπόλλων Xylander: ἀπολλώνιος RQPN

35. Kalpe, Bithynerstadt. Theopomp <erwähnt sie> im achten Buch der *Hellenika* (FGrHist 115 F 15). Auch gibt es <den zu Kalpe gehörigen Hafen> Kalpes Limen.[52] Das Ethnikon <zur Stadt lautet> Kalpeer, <gebildet> wie Sinopeer. Überdies gibt es <die Form> Kalpiner, wie <zu> Peuke Peukiner.[53] Zum Hafen gibt es <das Ethnikon> Kalpolimenit. <***> auch die Stadt Karpeia <***>. Einige sagen, diese <Einwohner hiessen> Karpetaner wie <zu Kalpia> Kalpianer.[54]

36. Kalybe, Stadt in Thrakien,[55] Kolonie von Makedonen. Das Ethnikon <lautet im Plural entweder> Kalybiten oder Kalybeer, wie von Alybe Alybeer.[56]

37. Kalydna, Insel.[57] Auch <Name> für die Stadt Theben, nach Kalydnos, einem Sohn des Uranos.[58] Man nennt sie <daher> auch Kalydnos. Der Bürger <heisst> Kalydnaier, und Kalydnidin <lautet> das Femininum, ferner Apollon <mit Beinamen> Kalydneus und Kalydnios, wie Androtion im sechsten Buch der *Atthis* (FGrHist 324 F 27) <angibt>.

38. Kalydon, Stadt in Aitolien,[59] nach Kalydon <benannt>, dem Sohn des Endymion oder des Aitolos. Das Ethnikon <lautet> Kalydonier und Kalydonierin <im Femininum>.

---

[52] Die Wortumstellung, wie sie Meineke vorgenommen hat, findet ihre Stütze im zugehörigen Ethnikon. So heisst die Örtlichkeit stets auch bei Xenophon und Arrian (s. Similia). Zu diesem Hafen s. DNP 6,211 Nr. 2.

[53] An dieser Analogie hatte Holste Anstoss genommen und mit Blick auf St. Byz. 520,4 Πεύκη … Πευκηνοί (RQPN) hier gegen die einstimmige Überlieferung Καλπηνός und Πευκηνός konjiziert. Da die Form Πευκῖνος durch Strabon (7,3,15 und 17 [C 305,24 und 306,21]) sowie Ptolemaios (Geog. 3,5,19 und 24 [3,5,7 und 10]) gut belegt ist, wird man von einer Änderung absehen.

[54] Der Schluss des Artikels ist derart verstümmelt, dass der Gedankengang nur noch im Umriss nachzuzeichnen ist. Ausgangspunkt für Meinekes Heilungsversuche war der kurze Artikel κ 98, wo Stephanos möglicherweise auf den hiesigen Artikel zurückverweist und vermerkt, Καρπηία (welches freilich ohne geographische Bestimmung bleibt) würde auch Κάρπεια genannt. Sofern es sich um den Ort in Spanien handelt, welchen auch Pausanias (6,19,3) unter dem Namen Κάρπεια aufführt, liegt die Vermutung nahe, Stephanos habe im Artikel Κάλπη auch den gleichnamigen Felsen von Gibraltar (τὸ Κάλπη ὄρος) erwähnt, der beim Historiker Nikolaos von Damaskus (FGrHist 90 F 127 [XI] 23) unter dem Namen Καλπία erscheint. Καλπιανοί, wie Valesius hier konjizierte, wäre dann in der Tat eine valable Analogie zu Καρπητανοί.

[55] Quelle dieses Eintrags ist offensichtlich Strabon (7,6,2, s. Similia), wo die Paradosis ebenfalls irrigerweise Καλύβη lautet, denn der Ort ist identisch mit Καβύλη (κ 5); entsprechend zu korrigieren ist TIB 12,433.

[56] Vgl. St. Byz. α 1, wo freilich noch die Formen Ἀλυβαῖος und Ἄλυβες figurieren.

[57] Kalydna ist der Name verschiedener ägäischer Inseln. Da die geographische Bestimmung hier fehlt, bleibt die Identifizierung unsicher; dass es sich um dieselbe Insel handelt wie Kalymna (κ 39), ist jedoch im Licht von Str. 13,1,46 (C 604,8) sowie Eust. ad B 677 (I 496,23) wahrscheinlich.

[58] Diese sonst nicht belegte Namensgebung (wohl eine Gelehrtenkonstruktion) dürfte direkt auf Sch. Lyc. 1209 zurückgehen; s. auch RE X 2,1763.

[59] Inventory Nr. 148; Freitag, Der Golf von Korinth 40–52.

39 Κάλυμνα· νῆσος, ἣν ὁ Σκήψιος (fr. 17 Gaede = FGrHist 2013 F 17b) πληθυντικῶς Καλύμνας φησί. τὸ ἐθνικὸν Καλύμνιος, ὡς Στράβων ι̅ (10,5,19 [C 489,27]) τὸ Καλύμνιον μέλι ἐκεῖ εἶναί φησι. λέγεται καὶ Καλυμνία. τὸ ἐθνικὸν Καλυμνιάτης.

40 Κάλυνδα· πόλις Καρίας, ὡς Καρύανδα. τὸ ἐθνικὸν Καλυνδεύς. Ἡρόδοτος η̅ (8,87,2).

41 Κάλυτις· πόλις Συρίας. Ἡρόδοτος β̅ (2,159,2). ὁ οἰκήτωρ Καλυτίτης, καὶ τὸ θηλυκὸν Καλυτίς, διὰ τὸ προειλῆφθαι τὸν χαρακτῆρα.

42 Καμάρα· πόλις Κρήτης. καὶ ὁ πολίτης <Καμαρίτης>, ὡς Ξενίων ἐν Κρητικοῖς (FGrHist 460 F 7) φησιν. ἥτις Λατὼ ἐλέγετο.

43 Καμαρηνοί· νῆσοι Ἀραβίων. Ἑκαταῖος ἐν Περιηγήσει (FGrHist 1 F 271). οἱ οἰκοῦντες ὁμοίως τῷ πρωτοτύπῳ Καμαρηνοί.

44 Καμαρία· πόλις Ἰταλική. „Ἀλβανῶν ἀπόκτισις“ Διονύσιος <β̅> Ῥωμαϊκῆς ἀρχαιολογίας (2,50,5). οἱ οἰκήτορες Καμαρῖνοι.

45 Καμάρινα· πόλις Σικελίας. καὶ λίμνη, ἀφ’ ἧς ἡ παροιμία (Orac. Sibyll. 3,736) „μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων“. ὁ πολίτης Καμαριναῖος.

---

39 Str. 10,5,19 (C 489,16) Νήσους δὲ Καλύδνας τὰς Σποράδας λέγειν φασὶ τὸν ποιητήν (B 677), ὧν μίαν εἶναι Κάλυμναν (et infra Kramer, καλύμναν codd.)· εἰκὸς δ’, ὡς ἐκ τῶν Νισυρίων λέγονται καὶ Κασίων αἱ ἐγγὺς καὶ ὑπήκοοι, οὕτω καὶ τὰς τῇ Καλύμνῃ περικειμένας ἴσως τότε λεγομένῃ Καλύδνῃ. τινὲς δὲ δύο εἶναι Καλύδνας φασί, Λέρον καὶ Κάλυμναν, ὅσπερ καὶ λέγειν τὸν ποιητήν. ὁ δὲ Σκήψιος (fr. 17 Gaede = FGrHist 2013 F 17a) πληθυντικῶς ὠνομάσθαι τὴν νῆσον Καλύμνας φησίν, ὡς Ἀθήνας καὶ Θήβας; cf. etiam Eust. ad B 677 (I 496,12) et ad D. P. 530 (p. 321,12) Mela 2,111 *Calymnia, Syme* (Voss, *camynis asyme* cod. V) **40** possessivum Καλυνδικός apud Hdt. 1,172,2 **41** Hdt. 2,159,2 μετὰ δὲ τὴν μάχην Κάδυτιν πόλιν τῆς Συρίης ἐοῦσαν μεγάλην εἷλε **42** Ptol. Geog. 3,17,5 (3,15,4); Hierocl. 650,1 **43** Plin. nat. 6,151 *maxima* (sc. *insula*) *Camari* **44** D. H. 2,50,5 ἦν δὲ Ἀλβανῶν ἀπόκτισις ἡ Καμερία πολλοῖς χρόνοις ἀποσταλεῖσα πρότερον τῆς Ῥώμης· τὸ δ’ ἀρχαῖον Ἀβοριγίνων οἴκησις ἐν τοῖς πάνυ ἐπιφανής **45** Orac. Sibyll. 3,736 et AP 9,685 μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων, Et. Gen. α 152 et Et. Sym. α 219 (221 Sell) μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων, Zen. 5,18 et Apostol. 11,49 (I 123,1 et II 527,17 Leutsch/Schneidewin), similiter Suid. μ 904

---

39 1 σκύψιος R 2 φησι καλύμνας R 2–3 τὸ ἐθνικὸν – εἶναί φησι om. N **40** 1 Κάλυνδα Xylander: Κάλυδνα RQPN 2 Καρύανδα Holste: κάρυνδα RQPN **41** 1 Καλυτίτης Holste (cl. St. Byz. κ 62): καλύτης RQPN 2 Καλυτίς Meineke: κάλυτις RQPN **42** 1 ὁ πολίτης om. R <Καμαρίτης> Gronovius: lac. non indic. RQ, lac. indic. PN, <Καμαραῖος> Salmasius 2 ἥτις RQ: ἧτι P, ὅτι N **43** 1 Καμαρινοὶ R **44** 1 β̅ ante Ῥωμαϊκῆς ἀρχ. add. Westermann **45** 1 Καμάρινα Q: Καμαρίνα RPN 2 καμάριναν Q: καμαρίναν RPN

39. Kalymna, Insel,[60] welche Demetrios von Skepsis (fr. 17 Gaede = FGrHist 2013 F 17b) im Plural Kalymnai nennt. Das Ethnikon <lautet> Kalymnier, wie Strabon im zehnten Buch (10,5,19 [C 489,27]) <zeigt>, der sagt, es gebe dort den Kalymnier Honig. Genannt wird sie auch Kalymnia; das <zugehörige> Ethnikon <lautet> Kalymniat.

40. Kalynda, Stadt in Karien,[61] <gebildet> wie Karyanda. Das Ethnikon <lautet> Kalyndeer,[62] <so> Herodot im achten Buch (8,87,2).

41. Kalytis, Stadt in Syrien. Herodot <erwähnt sie> im zweiten Buch (2,159,2).[63] Der Einwohner <heisst> Kalytit, und das Femininum <lautet ebenfalls> Καλυτίς (Kalytidin), ist doch die Wortform <im Stadtnamen bereits> vorweggenommen.

42. Kamara, Stadt auf Kreta. Und der Bürger <heisst> Kamarit, wie Xenion in den *Kretika* (FGrHist 460 F 7) angibt. Diese hiess <früher (?)> Lato.[64]

43. Kamarenoi, von Arabern <bewohnte> Inseln. Hekataios <erwähnt sie> in der *Periegese* (FGrHist 1 F 271). Die Bewohner <heissen> in gleicher Weise wie das Stammwort Καμαρηνοί (Kamarener).

44. Kamaria, italische Stadt.[65] „Albanerkolonie", <sagt> Dionysios im zweiten Buch der *Römischen Altertumskunde* (2,50,5). Die Einwohner <heissen> Kamariner.

45. Kamarina, Stadt auf Sizilien und <dortiger> See,[66] von dem das Sprichwort (Orac. Sibyll. 3,736) „Setz' den Kamariner See nicht in Bewegung, denn unbewegt ist er besser" <herrührt>.[67] Der Bürger <heisst> Kamarinaier.

---

[60] Inventory Nr. 485; s. oben κ 37.

[61] Inventory Nr. 894; TIB 8,2,594 f.; s. ferner, insb. zum archäologischen Befund, H. Lohmann, Zwischen Kaunos und Telmissos. Reisenotizen aus dem karisch-lykischen Grenzgebiet, Orbis Terrarum 5 (1999) 43–83, hier 54–60.

[62] Fraser, Ethnic terminology 280 f.

[63] Die Herodotüberlieferung gibt den Stadtnamen einhellig als Κάδυτις (vgl. auch 3,5,1–2); ein Ort Κάλυτις ist ebensowenig bezeugt wie Κάνυτις (κ 62), hinter welchem sich eine weitere Verwechslung mit Herodots Κάδυτις verbergen mag.

[64] Weder Kamara noch Lato sind literarisch weiter bezeugt, vgl. hingegen Inschriften (Chaniotis, Verträge zwischen kretischen Poleis Nr. 34 und 72) und Münzen (LAGM 2,156 Lato). Zum Ort s. DNP 6,216 f.

[65] RE III 1,1428 f. Die reguläre Form des Toponyms ist Καμερία, so D. H. 2,50,5 und 5,40,2; Plu. Rom. 24,4–5; App. BC 5,50. Entsprechend *Cameria* (Liv. 1,38,4), aber *Camerium* (Plin. nat. 3,68; Tac. ann. 11,24,2). Schwankend ist auch die Form des Ethnikons, wobei die Überlieferung bei Dionysios von Halikarnass sowohl – wie bei Stephanos – Καμαρῖνοι bietet (3,51,2) als auch Καμερῖνοι (2,54,1; 5,21,3) und Καμαριναῖοι (5,49,3–4); Paul. Fest. p. 268,9 Lindsay *Camerini*.

[66] Inventory Nr. 28; BTCGI 4,286–314; zum Akzent s. α 167 Anm. 210.

[67] Stephanos zitiert das Sprichwort in der volleren Version, wie sie neben den Oracula Sibyllina auch AP 9,685 sowie Et. Gen. α 152 und Et. Sym. α 219 (221 Sell) überliefern; nur mit dem ersten Halbvers steht es hingegen bei den Paroimiographen.

46 Καμβυσηνή καὶ Ξερξηνή· ἀπὸ Καμβύσου καὶ Ξέρξου, Περσικαὶ χῶραι. <τὸ> ἐθνικὸν τὸ αὐτό.

47 Καμικός· πόλις Σικελίας, ἐν ᾗ Κώκαλος ἦρχεν ὁ Δαίδαλον <ξενίσας>. Χάραξ (FGrHist 103 F 58) δὲ Ἴνυκον ταύτην φησίν. ὁ πολίτης Καμίκιος, καὶ θηλυκῶς.

48 Κάμιρος· πόλις ἐν Ῥόδῳ, ἀπὸ τοῦ παιδὸς Κερκάφου τοῦ Ἡλιάδου καὶ Κυδίππης. ἀπὸ Κερκάφου δὲ αἱ Ῥόδιαι γυναῖκες Κερκαφίδες. ἦσαν δὲ τρεῖς, ὡς Ὅμηρός (Β 656) φησι „Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμιρον“. ὁ πολίτης Καμιρεύς. Πείσανδρος ὁ διασημότατος ποιητὴς Καμιρεὺς ἦν. λέγεται καὶ Καμιρίτης καὶ Καμιραῖος, καὶ θηλυκῶς.

49 Καμμανία· μοῖρα Θεσπρωτίας. μετωνομάσθη δὲ Κεστρινία. ἐξ ἧς †Κάδμος† ὁ ποταμός. Κεστρίνη δὲ κτίσμα Κεστρίνου τοῦ υἱοῦ Ἑλένου τοῦ Πριαμίδου. οἱ οἰκήτορες Καμμανοί, ὡς τῆς Καμπανίας Καμπανοί.

---

46 St. Byz. ξ 5 Ξερξηνή· ἀπὸ Ξέρξου, ὡς Καμβυσηνή ἀπὸ Καμβύσου, τῇ μικρᾷ Ἀρμενίᾳ ὅμορος; Str. 11,4,1 (C 501,20) et 5 (C 502,29); 11,14,4 (C 528,9) Καμβισηνή (Radt ubique, vide Kommentar 7,260 et 321–322; sed Καμβυσηνή E, vide etiam J.M. Cook, JHS 79 [1959] 19–20) de gentilis forma cf. St. Byz. α 28, α 56, κ 292 **47** Ps.-Arc. 58,5 Τὰ εἰς κος ὑπερδισύλλαβα εἰ παραλήγοιτο ι μακρῷ βαρύνεται· Ἄνικος … εἰ δὲ τῇ ει διφθόγγῳ, ὀξύνεται· δαρεικός … σεσημείωται τὸ Καμικός ὀξύτονον καὶ ἔχον τὸ ι μακρόν, ὡς τὸ Παλικός; Theognost. An. Ox. 2,60,2 **48** St. Byz. 4,7 Κάμιρος Καμιρεῖς (RQPN), sed 88,13 Κάμειρος Καμειρεύς (RQPN); Eust. ad Β 656 (I 490,6) ὁ δὲ τὰ Ἐθνικὰ συλλέξας καὶ Σικελικὴν πόλιν Λίνδον ἱστορεῖ, ὃς καὶ τὴν παρ' Ὁμήρῳ Ἰηλυσὸν Ἰαλυσὸν γράφει λέγων εἶναι καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ δὲ κόλπῳ Ἰαλυσόν. τὴν δὲ Κάμιρον διὰ τοῦ ι καὶ αὐτὸς γράφει πρὸς διαστολὴν τοῦ κυρίου. τὸ γὰρ κύριον, ὁ Κάμειρος, διὰ διφθόγγου γράφεται. Κάμιρον δὲ ἀργινόεντα λέγει, ὡς καὶ πρὸ τούτου τὸν Λύκαστον καὶ ἐν τοῖς ἑξῆς δὲ λευκὴν Τίτανον τὴν λευκόγειον. λέγεται δὲ Καμιρέα εἶναι Πείσανδρον διασημότατον ποιητήν. τὸν δὲ προρρηθέντα Λίνδον καὶ τοὺς αὐτοῦ ἀδελφοὺς οὕτω γενεαλογοῦσιν οἱ παλαιοί· Ἡλίου καὶ Ῥόδου νύμφης υἱὸς Κέρκαφος, οὗ καὶ Λυσίππης Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, ὃν καὶ ὁ Χοιροβοσκὸς κατὰ κανόνα διὰ διφθόγγου γράφει ἐν τῇ Ὀρθογραφίᾳ. ἐκ δὲ τοῦ ῥηθέντος Κερκάφου Κερκαφίδες αἱ Ῥόδιαι γυναῖκες ἐκαλοῦντο; cf. etiam Eust. D. P. 504 (p. 311,41); Et. Gen. α 160 (= EM 28,39); EM 488,7; sed Κάμειρος apud Ps.-Arc. 81,22 et in inscriptionibus, cf. e.g. Blinkenberg, Lindos II 441,6; 486,13 de Cercapho, Solis filio, conditore cf. Sch. Pi. O. 7,34b; Str. 14,2,8 (C 654,9) οἱ Ἡλιάδαι μυθεύονται κατασχεῖν τὴν νῆσον. ὧν ἑνός, Κερκάφου, καὶ Κυδίππης γενέσθαι παῖδας τοὺς τὰς πόλεις κτίσαντας ἐπωνύμους αὑτῶν; D. S. 5,57,6–8 de Pisandro Camirensi cf. Paus. 2,37,4 et 8,22,4 Πείσανδρος ὁ Καμιρεύς, sed Suid. π 1465 Πείσανδρος … Καμιραῖος ἀπὸ Ῥόδου· Κάμιρος γὰρ ἦν πόλις Ῥόδου **49** Plb. 31,1,1 τοὺς Καμμανοὺς

---

46 1 Καμβυσηνή καὶ Ξερξηνή Westermann (mon. Berkel): Καμβύσην κατὰ ξέρξην· ἢ RQPN 2 <τὸ> ἐθνικὸν Berkel **47** 1 Καμικός Meineke (cf. St. Byz. α 167; Ps.-Arc. 58,9): Κάμικος RQPN Δαίδαλον <ξενίσας> Meineke dub. in app.: δαιδάλου RQPN 2 ἴνικον R 3 θηλυκὸν R **48** 1–2 bis κεκάρφου N 1 Ἡλιάδου Holste (e Str.): πηλειάδου RQ, πολει- PN 2 Κυδίππης Xylander: κυνδ- RQPN 3 ἰηλυσόν QPN: ἰλυσόν R τε om. R ἀργεινόεντα Q 4 κάμιρον QP: κάμειρον RN καμειρεὺς R 5 καμειρίτης R καμιραῖος QPN: καμιρεὺς R θηλυκὸν R **49** 1 κεστρηνία R 2 κάδμος ὁ ποταμὸς. R: κάδμος. ὁ ποταμὸς QPN Κεστρίνη Meineke: κεστρῖνος RQPN κεστρίνου RQN: κεστρίνον P

[120] Über eine phrygische Stadt dieses Namens ist weiter nichts bekannt; hingegen zählt Plinius (nat. 5,145) unter den dortigen *celeberrima oppida* Carina auf.

[121] Die Bezeichnung δοκιμώτατον geht wohl auf eine Verlesung von Hdt. 1,171,3 λογιμώτατον zurück.

20 **83 Καρικόν**· τόπος ἰδιάζων ἐν Μέμφιδι, ἔνθα Κᾶρες οἰκήσαντες, ἐπιγαμίας πρὸς Μεμφίτας ποιησάμενοι, Καρομεμφῖται ἐκλήθησαν.

84 Καρικὸν τεῖχος· πόλις Λιβύης ἐν ἀριστερᾷ τῶν Ἡρακλείων στηλῶν, ὡς Ἔφορος ε̅ (FGrHist 70 F 53). τὸ ἐθνικὸν Καρικοτειχίτης.

360 **85 Καρκινῖτις**· πόλις Σκυθική. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 184). οἱ κατοικοῦντες Καρκινῖται.

86 Καρμανία· χώρα τῆς Ἰνδικῆς. Στράβων ι̅ε̅ (15,2,14 [C 726,18]). τὸ ἐθνικὸν Καρμάνιοι καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ Καρμανοί καὶ Καρ-
5 μανίς. ἔστι καὶ Κάρμανα νῆσος <***> ἢ ἀπὸ τῶν Καρμανῶν.

87 Κάρμηλος· ὄρος δυσχείμερον. τὸ ἐθνικὸν Καρμήλιος, ὡς Μῆλος Μήλιος. καὶ κύριον ἐντεῦθεν. τὸ ἐθνικὸν παραπλήσιον.

10 **88 Κάρμινα**· νῆσος Ἰνδική. τὸ ἐθνικὸν ὤφειλε Καρμιναῖος, εὕρηνται δὲ Καρμῖνοι.

89 Κάρνανα· πόλις Μιναίων ἔθνους πλησίον Ἐρυθρᾶς θαλάττης. οἱ πολῖται Καρνανᾶται. Οὐράνιος (FGrHist 675 F 27) δὲ Καρνανίαν καὶ Καρνανίτας φησί.

---

83 St. Byz. ε 64 Ἑλληνικόν καὶ Καρικόν· τόποι ἐν Μέμφιδι, ἀφ᾽ ὧν Ἑλληνομεμφῖται καὶ Καρομεμφῖται, ὡς Ἀρισταγόρας (FGrHist 608 F 9a) **84** Hanno Peripl. 5 (GGM 1,3,8) Τήν τε λίμνην παραλλάξαντες ὅσον ἡμέρας πλοῦν, κατῳκίσαμεν πόλεις πρὸς τῇ θαλάττῃ καλουμένας Καρικόν τε τεῖχος καὶ Γύττην καὶ Ἄκραν καὶ Μέλιτταν καὶ Ἄραμβυν **85** Hdt. 4,55 Ὑπάκυρις ποταμός, … διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κατὰ Καρκινῖτιν πόλιν et 4,99,2 πόλιος Καρκινίτιδος καλεομένης **86** *Carmania* passim apud Strabonem memoratur, cf. imprimis 15,2,14 (C 726,18) Ἡ δὲ Καρμανία τελευταία μέν ἐστι τῆς ἀπὸ τοῦ Ἰνδοῦ παραλίας, ἀρκτικωτέρα δ᾽ ἐστὶ πολὺ τῆς τοῦ Ἰνδοῦ ἐκβολῆς (τὸ μέντοι πρῶτον αὐτῆς ἄκρον ἔκκειται πρὸς νότον εἰς τὴν Μεγάλην θάλατταν) … πολλὴ δὲ καὶ ἐν τῇ μεσογαίᾳ ἐστὶν ἐκτεινομένη μεταξὺ τῆς Γεδρωσίας καὶ τῆς Περσίδος, παραλλάττουσα πλέον τῆς Γεδρωσίας πρὸς τὴν ἄρκτον gentilium forma Καρμάνιοι invenitur e.g. apud. Plb. 5,79,3; Str. 2,1,28 (C 81,21); 15,2,1 (C 720,22); D. S. 2,2,3; Καρμανοί apud D. P. 1083; Plb. 5,79,7; Ael. VH 3,39; Καρμανίτης apud Str. 15,2,14 (C 727,9) Marcian. Peripl. 1,27 (GGM 1,531,12) Καρμανίας χώρας; D. P. 606 Καρμανίδος … ἄκρης, cum Eust. ad loc. (p. 332,27) ἡ δὲ Καρμανὶς Περσῶν ἐστιν ἐμπόριον **87** St. Byz. δ 150,39; Hsch. κ 836 Κάρμηλος· ὄρος ἐν τῇ Φοινίκῃ; cf. etiam J. BJ 3,35 **88** Ptol. Geog. 6,8,16 ἐν δὲ τῷ Ἰνδικῷ πελάγει· … Κάρμινα (v.l. Καρμίννα) et 8,22,23 Κάρμινα vel Κάρμινη in codd.; Marcian. Peripl. 1,29 (GGM 1,533,5) Κάρμιννα (cod.); Nonn. D. 26,219 ἵκανε πόλιν Καρμῖναν, et gentile 36,280 Καρμίνων βασιλῆα **89** Str. 16,4,2 (C 768,7) κατοικεῖ δὲ τὰ μέγιστα τέτταρα ἔθνη τὴν ἐσχάτην λεχθεῖσαν χώραν· Μιναῖοι μὲν ἐν τῷ πρὸς τὴν Ἐρυθρὰν μέρει, πόλις δ᾽ αὐτῶν ἡ μεγίστη Κάρνα ἢ Κάρνανα (Berkel, καρανᾶ et καρανᾶν codd.); Ptol. Geog. 6,7,31 Κάρνα; Eust. D. P. 954 (p. 384,32) καὶ ὅτι τεσσάρων ἐθνῶν μεγίστων κατοικούντων τὴν Ἀραβίαν ἓν ἐκεῖσέ ἐστι καὶ τὸ τῶν Μινναίων πρὸς Ἐρυθράν, ὧν πόλις μεγίστη Κάρνα

---

83 1 κᾶρες PN: κάρες RQ **84** 1 ἡρακλέων R **86** 3 νῆσος ἢ ἀπὸ RQPN: post νῆσος vel lac. indic. vel ἡ ἄπο<ικος> susp. Meineke (mon. Berkel), qui etiam καρμάνων (3) RQPN correxit **87** 1 δυσχείμερον <τῆς Φοινίκης> Meineke in app. 2 παραπλήσιον QPN: -ίως R **88** 1 νῆσον Q **89** 1 ἔθνους P (suppl. alt. m. ut vid.): ἔθνος N, om. R, spat. ca. 7 litt. cum ους Q 2 πολῖται καρνανᾶται RQ: πολίται καρνανάται PN Οὐράνιος Holste: σούνιος RQPN 3 καρνανίτας RQ: καρνανίτης PN

83. Karikon, separater Stadtteil in Memphis, wo sich Karer niedergelassen haben und, weil sie das Wechselheiratsrecht den Memphiten gegenüber ausübten, in Karomemphiten umbenannt worden sind.[122]

84. Karikon Teichos, Stadt in Libyen, links von den Säulen des Herakles <gelegen>, wie Ephoros im fünften Buch (FGrHist 70 F 53) <angibt>. Das Ethnikon <lautet> Karikoteichit.

85. Karkinitis, skythische Stadt.[123] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 184). Die Einwohner <heissen> Karkiniten.

86. Karmania, Landschaft in Indien.[124] Strabon <erwähnt sie> im fünfzehnten Buch (15,2,14 [C 726,18]). Das Ethnikon <lautet im Plural> Karmanier und <entsprechend> im Femininum (Καρμανία) sowie im Neutrum (Καρμάνιον). Ferner <gibt es die Formen> Karmaner und Καρμανίς (Karmanis, Karmanidin). Zudem gibt es eine Insel Karmana <***> oder von den Karmanern.[125]

87. Karmel, ein Gebirge mit harten Wintern.[126] Das Ethnikon <lautet> Karmelier, wie <zu> Melos Melier. Daher <kommt> auch der Eigenname.[127] Das Ethnikon ist fast dasselbe.

88. Karmina, indische Insel.[128] Das Ethnikon müsste Karminaier <lauten>, belegt sind jedoch die Karminer.

89. Karnana, Stadt des Minaiervolkes,[129] nahe beim Roten Meer <gelegen>. Die Bürger <heissen> Karnanaten. Uranios (FGrHist 675 F 27) aber nennt <die Stadt> Karnania und <die Einwohner> Karnaniten.

---

122 Dazu vgl. St. Byz. ε 64; Calderini/Daris, Dizionario 3,1,80 und 81; Fraser, Ethnic terminology 143 Anm. 81.

123 Inventory Nr. 698.

124 DNP 6,284.

125 Stephanos bezeichnet Karmanien als indische Landschaft (vgl. Str. 2,1,22 [C 78,15]), obwohl sein Gewährsautor sie im 15. Buch klar zwischen Persien bzw. Medien und Gedrosien lokalisiert. Auch erwähnt er eine sonst unbekannte Insel Karmana, wobei wohl Verwechslung mit Karmina im Indischen Ozean (κ 88; vgl. Ptol. Geog. 6,8,16) vorliegt. Hingegen fehlt die bekannte Hauptstadt Karmana (Ptol. Geog. 6,8,13 und 8,22,20; Amm. 23,6,49).

126 H.P. Kuhnen, Studien zur Chronologie und Siedlungsarchäologie des Karmel (Israel) zwischen Hellenismus und Spätantike. TAVO B 72 (Wiesbaden 1989), bes. 1,287–303 (Historischer Abriss über die antike Besiedlung des Karmelgebietes).

127 Tac. hist. 2,78,3 *Carmelus: ita vocant montem deumque*; vgl. ferner Suet. Vesp. 5,6. Zum Heiligtum des Ζεὺς Καρμηλός s. ausführlich H. Heubner, P. Cornelius Tacitus, Die Historien. Kommentar Bd. 2 (Heidelberg 1968) 274 f.

128 S. dazu Chuvin, Mythologie et géographie dionysiaques 307.

129 RE X 2,1961 f.

15 **90 Κάρνη**· πόλις Φοινίκης, ἀπὸ Κάρνου τοῦ Φοίνικος, ὡς Ἴστρος (FGrHist 334 F 76) φησίν. ὁ πολίτης Καρνίτης. Λυκόφρων (1291) „ὄλοιντο ναῦται πρῶτα Καρνῖται κύνες". ἔστι καὶ ἄλλη Αἰολίδος, ἧς τὸ ἐθνικὸν Καρναῖος, τὸ κτητικὸν Κάρνιος τριγενές. Ἀρτεμίδωρος δ' ἐν τῷ ῑ βιβλίῳ (fr. 112 Stiehle) φησίν „ἔστι Κάρνος καὶ συνεχῶς Πάλτος, εἶτα 5
20 Γάβαλα πόλις". καὶ ἀναλογεῖ τὸ Καρνίτης.

91 Καρνία· πόλις Ἰωνίας. Νικόλαος δ̄ (FGrHist 90 F 27).

92 Κάρνος· *νῆσος* Ἀκαρνανίας. Ἀρτεμίδωρος β̄ Γεωγραφουμένων (fr. 29 Stiehle). τὸ ἐθνικὸν Κάρνιος.

361 **93 Καρόπολις**· πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν ᾱ (FGrHist 273 F 21). τὸ ἐθνικὸν Καροπολίτης.

94 Καρὸς κῆποι· χωρίον Θρᾴκης. Θεόπομπος ν̄ (FGrHist 115 F 226). τὸ ἐθνικὸν Καροκηπίτης, ὡς αὐτός.

5 **95 Καρουεντός**· πόλις Λατίνων. Διονύσιος β̄ Ῥωμαϊκῆς ἀρχαιολογίας (cf. 5,61,3). ἔν τισι δὲ γράφεται Καρυεντός καὶ τὸ ἐθνικὸν Καρυεντανός.

96 Κάρπαθος· *νῆσος* πλησίον τῆς Κῶ. Ὅμηρος (Β 676–677). <Διο-
10 νύσιος (500–501) δέ> „Κάρπαθος αὖτ' ἐπὶ τῇσι ποτὶ ζόφον, <ἐγγύθι δ' αὐτῆς | Κρήτη τιμήεσσα>". ὁ οἰκήτωρ Καρπάθιος καὶ Καρπαθία, καὶ Καρπάθιον.

---

90 Sch. Lyc. 1291 Κάρνη πόλις Φοινίκης St. Byz. α 539 τὰ γὰρ ἀπὸ τῶν εἰς η δισυλλάβων θηλυκῶν ὀξυνομένων μὲν διὰ τοῦ ε, ὡς τὸ φυλέτης, βαρυνομένων δὲ διὰ τοῦ η, ὡς κωμήτης Σιδήτης. ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης, ὡς ἐροῦμεν Str. 16,2,12 (C 753,22) ἡ τῶν Ἀραδίων περαία, Πάλτος καὶ Βαλαναία καὶ Κάρανος, τὸ ἐπίνειον τῆς Ἀράδου λιμένιον ἔχον **92** Ps.-Scyl. 34,2 πόλις Ἀλυζία, καὶ κατὰ ταύτην νῆσος Κάρνος Plin. nat. 4,53 **95** D. H. 5,61,3 ἀπὸ τούτων τῶν πόλεων ἦσαν ἄνδρες, … Καρυεντανῶν *arx Carventana* apud Liv. 4,53,3 etc. gentile *Cusuetani* apud Plin. nat. 3,69 **96** Il. 2,676–677 Οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε | καὶ Κῶν, cum Sch. D ad Β 676 Sch. A. R. 4,1636 Κάρπαθος· νῆσός ἐστι τῶν Σποράδων πλησίον τῆς Κῶ. ταύτην Ὅμηρος εἴρηκεν (Β 676) „Κάρπαθόν τε Κάσον τε". ἄλλοι δὲ πλησίον Κρήτης εἶναί φασιν αὐτήν (P, κρήτην αὐτὴν καλοῦσιν L, Κράπαθον αὐτὴν καλοῦσιν Wendel) D. P. 500–501 Κάρπαθος αὖθ' ἑτέρωθι ποτὶ ζόφον· ἐγγύθι δ' αὐτῆς | Κρήτη τιμήεσσα cum Sch. D. P. 500 (p. 450a13); Eust. D. P. 498 (p. 310,17)

---

90 3 ὄλοιντο Xylander (e Lyc. codd.): ὄλοντο R, ὅλον τὸ QPN 4 κτιτικον (sine acc.) R 5 βυβλίῳ R φησί νι R 6 τὸ καρνίτης QP: τὸ καρνίτις R, τῶ καρνίτης N **92** 2 Κάρνιος Berkel: κάρνειος RQPN **94** 1 Καροσκῆποι Q 2 καροκηπίτης (ex καροπολίτης) R **95** novum tmema non indic. R 1 Καρουεντός Meineke (cf. St. Byz. λ 117; Hdn. 1,222,25): Καρούεντος RQPN ἀρχαιολογίας QPN: ἀρχῆς R 2 καρύεντος (ex -ρόυ-) R **96** 2–3 in addendis Billerbeck secuta est Meineke, qui mon. Holste et Berkel non solum Dionysii versum conclusit, sed etiam post Ὅμηρος poetae verba (Β 676–77) „Κράπαθόν τε Κάσον τε | καὶ Κῶν" add. 2 αὖτ' Meineke: τ' αὖ RQPN τῇσι QPN: τοῖσι R 3 καρπαθία QPN: καρπαθιὼν R 4 Καρπάθιον Holste: κάρπαθον RQPN

90. Karne, Stadt in Phönizien, nach Karnos <benannt>, dem Sohn des Phoinix, wie Istros (FGrHist 334 F 76) angibt. Der Bürger <heisst> Karnit; <so schreibt> Lykophron (1291): „Zugrunde gehen sollen die Matrosen als erstes, die karnitischen Hunde!". Es gibt noch eine weitere <Stadt dieses Namens> in der Aiolis, deren Ethnikon Karnaier <lautet> und das Ktetikon Κάρνιος (karnischer) dreigeschlechtig ist. Artemidor hingegen sagt im zehnten Buch (fr. 112 Stiehle): „Karnos gibt es, und unmittelbar darauf <kommt> Paltos; dann Gabala, eine Stadt".[130] <Das Ethnikon> Karnit ist analog.

91. Karnia, Stadt in Ionien.[131] Nikolaos <erwähnt sie> im vierten Buch (FGrHist 90 F 27).

92. Karnos, Insel <vor der Küste> Akarnaniens. Artemidor <erwähnt sie> im zweiten Buch der *Geographumena* (fr. 29 Stiehle).[132] Das Ethnikon <lautet> Karnier.

93. Karopolis, Stadt in Karien.[133] Alexander (Polyhistor) <erwähnt sie> im ersten Buch der *Karika* (FGrHist 273 F 21). Das Ethnikon <lautet> Karopolit.

94. Karos Kepoi, Örtlichkeit in Thrakien. Theopomp <erwähnt sie> im fünfzigsten Buch (FGrHist 115 F 226). Das Ethnikon <lautet> Karokepit, wie derselbe <sagt>.

95. Karuentos (Carventum), Latinerstadt.[134] Dionysios <erwähnt sie> im zweiten Buch der *Römischen Altertumskunde* (vgl. 5,61,3).[135] In gewissen <Werken> wird sie jedoch Karyentos geschrieben und das Ethnikon als Karyentaner.

96. Karpathos, Insel in der Nähe von Kos;[136] <so> Homer (Il. 2,676–677). Dionysios (der Perieget, 500–501) hingegen <sagt>: „Karpathos seinerseits ist unter ihnen nach dem Westen hin <gelegen>; in seiner Nähe <befindet sich> Kreta, die angesehene <Insel>". Den Bewohner <nennt man> Karpathier und <im Femininum> Karpathierin, und Karpathisches <lautet das zugehörige Neutrum>.[137]

---

[130] Der Ort ist identisch mit Karanos (Str. 16,2,12 [C 753,23]); zum Küstenabschnitt s. J.-P. Rey-Coquais, MUSJ 41 (1965) 211–225. Für Münzen vgl. LAGM 2,133.

[131] Sonst weiter nicht bekannt; zum Toponym s. Zgusta, Kleinasiatische Ortsnamen § 451.

[132] Ob das Zitat wirklich aus dem zweiten Buch stammt, ist fraglich, so bereits Holste; Schiano, Artemidoro di Efeso 37–40, vermutet Erwähnung im fünften Buch (ε̄).

[133] Nicht weiter bekannt, s. Zgusta, Kleinasiatische Ortsnamen § 447–1.

[134] BTCGI 5,20–28.

[135] Der Hinweis auf das zweite Buch scheint irrig; denn lediglich in 5,61,3 werden die Καρυεντανοί erwähnt.

[136] Inventory Nr. 489.

[137] Der Artikel ist arg verstümmelt, doch Sch. A. R. 4,1636 (s. Similia), welches die unterschiedlichen Lokalisierungen referiert, dient als Wegweiser zum Verständnis des Textes und seiner Wiederherstellung. Dem Epitomator kam es offenbar in erster Linie auf die Lokalisierung der Insel an, weshalb der Hinweis auf Homer genügte; ob das Zitat ursprünglich ausgeschrieben war und die Namensvariante Κράπαθος von Stephanos diskutiert wurde, entzieht sich unserer Kenntnis. Unerlässlich hingegen sind die Erwähnung des Periegeten Dionysios sowie die Ergänzung des Zitats mit dem entscheidenden Hinweis auf Kretas Nachbarschaft.

15 **97 Καρπασία**· πόλις Κύπρου, ἣν Πυγμαλίων ἔκτισεν, ὡς Ἑλλάνικος ἐν τοῖς Κυπριακοῖς (FGrHist 4 F 57 = fr. 57 Fowler). Διονύσιος δὲ διὰ διφθόγγου Κραπάσειαν αὐτήν φησιν ἐν γ̄ Βασσαρικῶν (fr. 5 Livrea = fr. 2 Heitsch) „ἠδ' ὁπόσοι Κινύρειον ἰδ' αἰπεινὴν Κραπάσειαν". ἔστι καὶ νῆσος Καρπασία κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Ξεναγόρας (FGrHist 240 F 34) δὲ Κάρπαθον αὐτήν φησι. Δημήτριος δ' ὁ Σαλαμίνιος (FGrHist 756 F 1) Καρβασίαν φησίν, ὅτι πρὸς τὸν καλούμενον Κάρβαν ἄνεμον κεῖσθαι 20 δοκεῖ. ὁ πολίτης Καρπασεώτης ὡς Μαρεώτης. καὶ τὸ κτητικὸν Καρπασεωτικός καὶ Καρπασεωτικὴ ἄκρα. Θεόπομπος ἐν ῑ (FGrHist 115 F 19) Καρπασεῖς αὐτούς φησιν, ἴσως ἀπὸ τοῦ Κάρπασος, ὡς Ἀντίοχος Ἀντιοχεύς, ἀφ' οὗ Καρπάσεια.

98 Καρπηία· εἴρηται ἐν τῷ Κάλπη (κ 35), ὅτι τινὲς Κάρπειαν τὴν 25 πόλιν φασὶ καὶ Καρπητανούς τὸ ἐθνικόν.

362 **99 Καρπήσιοι**· ἔθνος Ἰβηρικὸν τῶν ἐκτὸς Ἴβηρος ποταμοῦ.

100 Κάρραι· πόλις Μεσοποταμίας, ἀπὸ Καρρᾶ ποταμοῦ Συρίας. τὸ ἐθνικὸν Καρρηνός ἢ Καρραῖος. ἔστι καὶ πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ.

5 **101 Καρύα**· χωρίον τῆς Λακωνικῆς. Θεόπομπος νε̄ (FGrHist 115 F 238). ὁ οἰκήτωρ Καρυάτης καὶ θηλυκὸν Καρυᾶτις καὶ Καρυαῖος καὶ Καρυεύς. καὶ Καρυᾶτις μέλισσα ἀντὶ τοῦ Λακωνική. Καρύα γὰρ αὐτόθι τόπος.

---

97 Str. 14,6,3 (C 682,24) εἶτα Καρπασία πόλις λιμένα ἔχουσα (κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν Σαρπηδόνα)· ἐκ δὲ τῆς Καρπασίας ὑπέρβασίς ἐστιν ἰσθμοῦ τριάκοντα σταδίων πρὸς τὰς νήσους τὰς Καρπασίας καὶ τὸ νότιον πέλαγος; Ptol. Geog. 5,14,4 (5,13,4) Nonn. D. 13,455 οἵ τ' εἶχον Κραπάσειαν (Graefe, κρεμάσειαν cod.), ἁλιστεφὲς οὖδας ἀρούρης Ps.-Scyl. 103 Καρπάσεια, cf. etiam Stad. 178 (GGM 1,483,4) et 314–315 (GGM 1,504,7) **98** St. Byz. κ 35 de gente Hiberica Carpetanorum Str. 3,1,6 (C 139,8) et passim; cf. etiam Ptol. Geog. 2,6,57 et 59 (2,6,56 et 58) **99** Plb. 3,14,2 Καρπήσιοι, sed 10,7,5 Καρπητανοί **100** de gentilis formis cf. St. Byz. β 57 et β 112; 656,10; 700,16 **101** de accentu cf. Ps.-Arc. 114,17 Paus. 3,10,7 τρίτη δὲ ἐκ τῆς ὁδοῦ τῆς εὐθείας ἐκβολὴ κατὰ τὰ δεξιὰ ἐς Καρύας ἄγει καὶ ἐς τὸ ἱερὸν τῆς Ἀρτέμιδος. τὸ γὰρ χωρίον Ἀρτέμιδος καὶ Νυμφῶν ἐστιν αἱ Κάρυαι καὶ ἄγαλμα ἕστηκεν Ἀρτέμιδος ἐν ὑπαίθρῳ Καρυάτιδος· χοροὺς δὲ ἐνταῦθα αἱ Λακεδαιμονίων παρθένοι κατὰ ἔτος ἱστᾶσι καὶ ἐπιχώριος αὐταῖς καθέστηκεν ὄρχησις; cf. etiam 4,16,9 Vitr. 1,1,5 *Carya, civitas Peloponnensis*

---

97 1 ἑλλανικὸς Q 3 et 4 Κραπάσειαν Holste: καρπάσειαν bis RQPN 4 Κινύρειον Xylander: κινύριον RQPN ἰδ' Xylander: ἠδ' RPN, ἤδ' Q 5 ἄκραν τὴν Xylander: ἀκραγαντίνων R, ἀκραγάντιν QPN 7 Κάρβαν Meineke: καρβάν RQPN 8 καρπασεωτικόν R **98** 1 Κάλπη Meineke: καπη R, κά cum spat. ca. 6 litt. Q, καπης (πης alt. m. in spat. add.) P, καπη cum spat. ca. 5 litt. N 2 καρπητανοὺς N: καρπιτ- RQP ἐθνικὸν P(alt. m. in spat.)N: om. R, lac. indic. om. Q **99** ἐκτὸς R: ἐ̣ντὸς Q, ἐντός PN ποταμοῦ PN: -ῶν RQ **100** 1 καρρᾶ R: καρρὰ QPN **101** 1 Καρύα Meineke: Κάρυα Q[ac]P[ac]N[ac], Κάροια RQ[pc]P[pc]N[pc] 2 καρυάτης Q[ac]PN: καροιάτης RQ[pc] θηλυκὸν om. N Καρυᾶτις Westermann: καρυάτις Q[ac]P[ac]N[ac], καροιάτις RQ[pc]P[pc]N[pc] Καρυαῖος Xylander: καροιαῖος RQPN 3 Καρυεύς Westermann: καριεύς R, καροιεὺς QPN Καρυᾶτις Westermann: καροιᾶτις R, καροιάτις QPN Καρύα Meineke: καροία R, κάροια QPN

97. Karpasia, Stadt auf Zypern,[138] welche Pygmalion gegründet hat, wie Hellanikos in den *Kypriaka* (FGrHist 4 F 57 = fr. 57 Fowler) <angibt>. Dionysios hingegen nennt sie im dritten Buch der *Bassarika* (fr. 5 Livrea = fr. 2 Heitsch) mit Diphthong Krapaseia: „Und alle, die Kinyreion und das steile Krapaseia <bewohnen>“. Es gibt auch eine Insel <namens> Karpasia in der Gegend des Kap Sarpedon.[139] Xenagoras (FGrHist 240 F 34) nennt sie aber Karpathos. Demetrios aus Salamis (FGrHist 756 F 1) hingegen sagt, <sie heisse> Karbasia, weil sie offenbar in Richtung des Ostwindes, den man Karbas nennt, liege. Der Bürger <heisst> Karpaseot, wie Mareot. Und das Ktetikon <lautet> karpaseotischer <und im Femininum> Karpaseotische Höhe. Theopomp nennt im zehnten Buch (FGrHist 115 F 19) die Einwohner Karpaseer, vielleicht in Ableitung von Karpasos, wie <zu> Antiochos <Antiocheia> Antiocheer; nach diesem <die Namensform> Karpaseia.

98. Karpêïa, im Artikel ‚Kalpe‘ (κ 35) ist gesagt worden, dass einige die Stadt Karpeia nennen und das Ethnikon <im Plural auch> als Karpetaner <bezeichnen>.[140]

99. Karpesier, iberisches Volk, welches zu den <Stämmen> jenseits des Flusses Iber gehört.[141]

100. Karrhai, Stadt in Mesopotamien, <benannt> nach Karrhas, einem syrischen Fluss.[142] Das Ethnikon <lautet> Karrhener oder Karrhaier. Es gibt eine weitere Stadt <dieses Namens> am Roten Meer.[143]

101. Karya, Örtlichkeit in Lakonien.[144] Theopomp <erwähnt sie> im fünfundfünfzigsten Buch (FGrHist 115 F 238). Der Bewohner <heisst> Karyat, als Femininum Karyatidin, ferner Karyaier und Karyeer. Auch <sagt man> karyatische Biene anstelle von lakonischer; ist doch Karya ein Platz ebendort.

---

[138] Inventory Nr. 1014; Chuvin, Mythologie et géographie dionysiaques 94–96.

[139] Quelle dieser Auskunft ist Str. 14,6,3, der von den Karpasischen Inseln an der Südküste der gleichnamigen Halbinsel spricht und auch das Kap Sarpedon an der kilikischen Küste, gegenüber der Hafenstadt Karpasia, erwähnt; s. TIB 5,1,399.

[140] Eine weitere Metonomasie bezeugt Paus. 6,19,3 εἰσὶ δ’ οἳ Κάρπειαν Ἰβήρων πόλιν καλεῖσθαι νομίζουσι τὰ ἀρχαιότερα Ταρτησσόν, s. dazu G. Maddoli/M. Nafissi/V. Saladino, Pausania, Guida della Grecia. Libro VI (Roma/Milano 1999) 315. Zur Bezeichnung ‚Karpetaner‘ s. Tovar, Tribus y ciudades 3,96–98.

[141] Der gräzisierte Name für die Karpetaner; s. oben Anm. 140.

[142] Cohen, Hell. settlements 3,79-81; ferner RE X 2,2009–2021 (bes. 2009–2011 zu Namensform und Etymologie); RAC 13,634–650.

[143] Verwechslung mit Gerrha (γ 65; s. DNP 4,977) scheint nicht ausgeschlossen; s. Cohen, Hell. settlements 3,154 f.

[144] Inventory S. 574. Der Singular des Ortsnamens ist ungebräuchlich (schwankend bei Stephanos, vgl. α 511, β 115; *Carya* bei Vitr. 1,1,5). Bekannt ist vor allem das dort gefeierte Fest der Artemis Karyatis (τὰ Καρυάτεια); s. Nilsson, Griechische Feste 196–199.

10 **102 Καρύανδα**· πόλις καὶ λιμὴν ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ. Ἑκαταῖος (FGrHist 1 F 242) Καρύανδαν αὐτήν φησι. τὸ ἐθνικὸν Καρυανδεύς ὡς Ἀλαβανδεύς. ἐντεῦθεν ἦν Σκύλαξ ὁ παλαιὸς λογογράφος.

15 **103 Κάρυστος**· πόλις ὑπὸ τῇ Ὄχῃ ὄρει τῆς Εὐβοίας. ἀπὸ Καρύστου τοῦ Χείρωνος. Θεοδωρίδας (SH 746) Χειρωνίαν αὐτήν φησι. κεῖται δ' ἡ πόλις πρὸς τῷ Μυρτῴῳ πελάγει ὑπὸ τῷ ὄρει Ὄχῃ. ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας, ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ, <ἢ διὰ τὴν τροφὴν>· οἱ γὰρ Ἀχαιοὶ τὴν 5 τροφὴν ὀχήν φασι. λέγεται καὶ ἀρσενικῶς ὁ Ὄχης. ἐν ταύτῃ τῇ πόλει 20 γίνεται „λίθος ἡ ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι, ῥυπωθέντα δὲ εἰς φλόγα βάλλεσθαι καὶ ἀποκαθαίρεσθαι τὸν πίνον τῇ πλύσει παραπλησίως“ (Str. 10,1,6 [C 446,19]). ἐκαλεῖτο δὲ καὶ Αἰ-363 γαία ἀπὸ Αἰγαίωνος τοῦ δυναστεύοντος, ἀφ' οὗ καὶ τὸ πέλαγος Αἰγαῖον. 10 ἔστι καὶ Κάρυστος τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν (fr. 134c Calame = PMGF fr. 92d) ἔφη, καθὰ Στράβων ῑ (10,1,6 5 [C 446,25]). τῆς προτέρας τὸ ἐθνικὸν Καρύστιος „ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων“ (Str. 10,1,6 [C 446,17]). καὶ θηλυκὸν Καρυστία.

---

102 Str. 14,2,20 (C 658,5) Ἐν δὲ τῇ παραλίᾳ τῆς ἠπείρου κατὰ τὴν Μυνδίαν Ἀστυπάλαιά ἐστιν ἄκρα καὶ Ζεφύριον, εἶτ' εὐθὺς ἡ Μύνδος, λιμένα ἔχουσα, καὶ μετὰ ταύτην Βαργύλια, καὶ αὕτη πόλις· ἐν δὲ τῷ μεταξὺ Καρύανδα λιμὴν καὶ πόλις καὶ νῆσος ὁμώνυμος ταύτῃ, ἣν ᾤκουν Καρυανδεῖς (ἐντεῦθεν δ' ἦν καὶ Σκύλαξ ὁ παλαιὸς συγγραφεύς); Ps.-Scyl. 99,1 Καρύανδα νῆσος καὶ πόλις καὶ λιμὴν de Scylace Caryandensi Hdt. 4,44,1 πέμπει (sc. Δαρεῖος) πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθείην ἐρέειν καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα; similiter Str. 13,1,4 (C 583,5) et Marcian. Epit. Peripl. Menipp. 2 (GGM 1,565,37) **103** de Chirone et de Chironiae denominatione cf. Sch. Pi. P. 4,182 Eust. ad B 539 (I 431,26) Ἡ δὲ Κάρυστος ὑπὸ τῇ Ὄχῃ, φασί, κεῖται, ἥτις ἐστίν, ὡς καὶ προερρέθη, ὄρος μέγιστον τῶν ἐν Εὐβοίᾳ, ἐξ οὗ καὶ ἡ Εὔβοια Ὄχη ὠνομάσθη ποτέ ἐκλήθη δὲ Ὄχη ἢ διὰ τὸ ἐξέχειν, ἐξ οὗ, ὡς εἴρηται, καὶ τὸ ὄχα ἐπίρρημα, ἢ κατὰ τοὺς παλαιοὺς ἀπὸ τῆς ἐκεῖ ὀχείας ἤτοι μίξεως Διὸς καὶ Ἥρας, ἢ διὰ τὴν αὐτόθι τῶν προβάτων ὀχείαν, ἤδη δὲ καὶ τροφήν· Ἀχαιοὶ γὰρ τὴν τροφὴν ὀχὴν λέγουσιν .... Λέγεται δέ, φασίν, ἡ Ὄχη αὕτη καὶ ἀρσενικῶς ὁ Ὄχης. ἐκαλεῖτο δὲ ἡ Κάρυστος καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος δυνάστου, ἀφ' οὗ καὶ πέλαγος Αἰγαῖον. ἦν δὲ καὶ λατόμιον τὸ Μαρμάριον Καρυστίων κιόνων κατὰ τὸν Γεωγράφον περὶ αὐτήν, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Μαρμαρίνου· καὶ λίθος δέ, φησί, περὶ αὐτὴν ἐφύετο ἡ ξαινομένη καὶ ὑφαινομένη ὥστε χειρόμακτρα ποιεῖν, ἃ ῥυπωθέντα καὶ εἰς φλόγα βληθέντα ἀπεκαθαίροντο, φησί, τοῦ πίνου παραπλησίως τῇ πλύσει Str. 10,1,6 (C 446,16) Κάρυστος δ' ἐστὶν ὑπὸ τῷ ὄρει τῇ Ὄχῃ· πλησίον δὲ τὰ Στύρα καὶ τὸ Μαρμάριον, ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων, ἱερὸν ἔχον Ἀπόλλωνος Μαρμαρινοῦ, ὅθεν διάπλους εἰς Ἁλὰς τὰς Ἀραφηνίδας. ἐν δὲ τῇ Καρύστῳ καὶ ἡ λίθος φύεται ἡ ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι, ῥυπωθέντα δ' εἰς φλόγα βάλλεσθαι καὶ ἀποκαθαίρεσθαι τῇ πλύσει τὸν πίνον παραπλησίως. .... Κάρυστος δ' ἐστὶ καὶ ἐν τῇ Λακωνικῇ τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν (PMGF 92d) εἴρηκε

---

102 1 λιμὴν Salmasius: λίμνη RQPN 3 καὶ ante Σκύλαξ add. RQ **103** 1 ὄρει Holste (e Str.): πρὸς R, πόλις QPN 3 ὄχη QPN: ὄχει R 4 ἐκεῖ ὀχείας, ἤτοι ante τῶν θεῶν μίξεως add. Berkel (ex Eust.) 5 ἢ διὰ τὴν τροφὴν add. Berkel (ex Eust.) 6 ὀχήν Berkel: ὄχην RQPN ἀρσενικῶς Xylander: ἄρσων τὸ ὄρος RQPN 7 τὰ ὕφη Meineke (e Str.): τύφη RQPN, τῇ ὑφῇ Xylander χειρώμακτρα Q 9 πίνον Holste: πῖνον RQPN 10 Αἰγαίωνος Holste (ex Eust.): αἴγωνος RQPN 11 Κάρυστος Pinedo: καρυστὸς RQPN 13 Καρύστιος Holste: καρυστίας RQPN ᾧ Meineke (e Str.): ἢ RQPN

102. Karyanda, Stadt und Hafen gleichen Namens in der Nähe von Myndos und <der Insel> Kos.[145] Hekataios (FGrHist 1 F 242) nennt sie <im Akkusativ Singular> Καρύανδαν.[146] Das Ethnikon <lautet> Karyandeer, wie Alabandeer.[147] Von dort stammte Skylax, der alte Verfasser <von Seefahrtsberichten>.

103. Karystos, Stadt am Fuss des Berges Oche auf Euboia.[148] <Benannt ist sie> nach Karystos, dem Sohn des Cheiron. Theodoridas <aus Syrakus> (SH 746) nennt sie <denn auch> Cheironia. Die Stadt ist am Myrtoischen Meer gelegen, <und zwar, wie gerade erwähnt,> unterhalb des Berges Oche. Der Berg hat seinen Namen nach dem <dort vollzogenen> Liebesakt zwischen den Gottheiten Zeus und Hera;[149] oder daher, weil die Schafe im dortigen Gelände besprungen und trächtig werden, oder wegen des Futters,[150] bezeichnen doch die Achaier die Nahrung <mit dem Wort> ὀχή. <Der Berg> heisst auch mit maskuliner Form Oches. In dieser Stadt <Karystos> gibt es „eine Stein<wolle>, die man <so> kämmt und verwebt, dass die <daraus hergestellten> Stoffe als Handtücher dienen; schmutzig geworden, wirft man sie ins Feuer und reinigt sie von den Fettflecken, als würde man sie waschen“ (Str. 10,1,6 [C 446,19]). <Die Stadt> hiess auch Aigaia, <benannt> nach dem Herrscher Aigaion, der auch dem Ägäischen Meer den Namen gegeben hat. Es gibt <aber> auch Karystos, einen Ort im Gebiet von Aigys, nach Arkadien hin <gelegen>;[151] den von dort stammenden Wein nannte Alkman (fr. 134c Calame = PMGF fr. 92d) Karystier, wie Strabon im zehnten Buch (10,1,6 [C 446,25]) <berichtet>. Das Ethnikon zur erstgenannten Stadt <lautet> Karystier: „wo sich der Steinbruch der Karystier Säulen <befindet>“ (Str. 10,1,6 [C 446,17]). Und das <zugehörige> Femininum <lautet> Karystierin.

---

[145] Inventory Nr. 896; Zgusta, Kleinasiatische Ortsnamen § 454–1.

[146] Die Analogie mit Städten wie Alabanda, Alinda, Kalynda, Laranda (s. Hdn. 1,380,3) weist das Toponym als Neutrum Plural aus; als Femininum ist es nur hier für Hekataios bezeugt.

[147] Fraser, Ethnic terminology 280 f.

[148] Inventory Nr. 373; Radt, Kommentar 7,141 (zu Strabon als Quelle des Stephanos).

[149] Seit Berkel ergänzen die Herausgeber aus Eustathios’ Erklärung zu Il. 2,539 ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς <ὀχείας, ἤτοι> τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας. Dass Eustathios als Kommentator die Namensetymologie (ὀχεία > Ὄχη) explizit anführt, ist keineswegs erstaunlich, zumal die Worterklärung auch in den Lexika beheimatet ist, so Phot. ο 729 ὀχεία· μίξις· συνουσία, Suid. ο 1039; Zonar. p. 1492. Hingegen wäre sie hier bei Stephanos befremdlich, da ὀχεία nur in der Bedeutung der tierischen Begattung belegt ist.

[150] Die Worterklärung weist auf Textausfall, der sich aus dem Referat des Eustathios leicht beheben lässt.

[151] Inventory S. 574.

104 Καρχηδών· μητρόπολις Λιβύης, διασημοτάτη πόλις. Χαλκηδὼν δὲ τῆς Βιθυνίας διὰ τοῦ λκ. ἀπὸ Καρχηδόνος Φοίνικος. ἐκαλεῖτο δὲ Καινὴ πόλις καὶ Καδμεία καὶ Οἴνουσα καὶ Κακκάβη. τούτῳ δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν ἵππου κεφαλὴ δηλοῦται. ἔστι δὲ καὶ ἄλλη Καρχηδὼν πόλις Ἰβηρίας, ἐκαλεῖτο δὲ καὶ αὐτὴ Καινὴ πόλις. ἔστι καὶ Ἀρμενίας Καρχηδών, ὡς Εὐτρόπιός (cf. 3,15,3) φησιν. ὁ πολίτης Καρχηδόνιος <***> σοφὸς Μάγων καὶ Κλειτόμαχος, ὁ Διογνήτου, ὃς ἐκαλεῖτο Ἀσδρούβας, φιλόσοφος Ἀκαδημαϊκός, διάδοχος <τῆς> Καρνεάδου τοῦ Κυρηναίου σχολῆς, ὃς κη ἐτῶν ἐλθὼν Ἀθήναζε ἄμοιρος ἦν τῶν πρώτων στοιχείων καὶ ταῦτα μανθάνων ἠκροάσατο Καρνεάδου.

---

104 Eust. D. P. 195 (p. 251,21) Ἄλλοι δὲ οὕτως ἱστοροῦσι· „Καρχηδὼν ἡ πόλις ἀπὸ Καρχηδόνος τινός, ἀνδρὸς Φοίνικος. ἐκαλεῖτο δὲ καὶ Καινὴ πόλις καὶ Καδμεία καὶ Κακκάβη, ὅπερ τῇ ἐγχωρίῳ διαλέκτῳ ἵππου δηλοῖ κεφαλήν. ἐξ αὐτῆς φασι Κλειτόμαχον εἶναι τὸν Ἀκαδημαϊκὸν φιλόσοφον, τὸν καὶ Ἀσδρούβαν καλούμενον, ὃς ἠκροάσατο τοῦ σοφοῦ Καρνεάδου κη ἐτῶν ἄνθρωπος ἐλθὼν Ἀθήναζε ἄμοιρος, φασί, καὶ τῶν πρώτων στοιχείων, καὶ ὅμως ὀξύτητι φύσεως καὶ ἄκρᾳ μελέτῃ εἰς πολὺ σοφίας ἐληλακώς“. … ὀρύξαντες δὲ περί που φοίνικα πεφυτευμένον εὗρον κεφαλὴν ἵππου, καὶ συμβαλόντες σημαίνεσθαι σχολὴν αὐτοῖς καὶ παρ' ἄλλων δόσιν τροφῆς, καθὰ καὶ τοῖς ἵπποις, ἔκτισαν ἐν τῷ τοιούτῳ τόπῳ τὴν Καρχηδόνα, καὶ ταῦτα πότιμον ὕδωρ μὴ ἔχοντι· καὶ τάχα διὰ τοῦτο καὶ Κακκάβη ἐκλήθη, ὡς ἀνωτέρω ἔκκειται   de Carthagine nova in Hispania sita cf. St. Byz. α 202 (cum sim.)

---

104 1 Καρχηδὼν PN: Καρδηδὼν RQ   Χαλκηδών Ald.: χαλκεδὼν RQPN   3 οἴνουσα R: -σσα QPN   τούτῳ Xylander: τοῦτο RQPN   5 ἔστι RQ: ἐστι δὲ PN   7 lac. indic. Holste   Μάγων P. Wesseling ad Hierocl. 690,4 Χαλκηδών (Vetera Romanorum Itineraria [1735] p. 691): μέγας RQPN   8 τῆς add. Meineke   9 τοῦ RQP: τῆς N   ἐτῶν om. PN   10 ἠκροάσατο Salmasius (ex Eust.): ἀκροάσασθαι RQPN

104. Karchedon (Carthago), Hauptstadt Libyens, hochberühmte Stadt.[152] Chalkedon, <den Namen der Stadt> in Bithynien <schreibt man> hingegen mit λκ <anstatt mit ρχ>.[153] <Benannt ist sie> nach einem Phönizier Karchedon. Sie hiess ferner Kaine Polis (Neustadt), Kadmeia, Oinusa und Kakkabe. Mit diesem Wort wird nämlich in ihrer einheimischen Sprache der Pferdekopf bezeichnet. Es gibt noch eine weitere Stadt <namens> Karchedon auf der Iberischen Halbinsel; sie hiess ebenfalls Kaine Polis (Carthago Nova). Zudem gibt es ein Karchedon in Armenien, wie Eutrop (vgl. 3,15,3) angibt.[154] Der Bürger <heisst> Karchedonier. <Aus Karthago stammen> der gelehrte Mago sowie Kleitomachos, der Sohn des Diognetos, welcher Hasdrubal hiess, ein Philosoph der Akademie, Scholarch in der Nachfolge des Karneades aus Kyrene. Wie er im Alter von achtundzwanzig Jahren nach Athen ging, hatte er noch keine Grundkenntnisse <in Griechisch>; und als er sich diese <dort> aneignete, ging er <gleichzeitig> in die Vorlesungen des Karneades.[155]

---

[152] W. Huß, Geschichte der Karthager. Handbuch der Altertumswissenschaft 3.8 (München 1985), bes. 39–56 und 458 ff.

[153] Dasselbe Beispielspaar (Καλχηδών/Καρχηδών) führt Stephanos gegen den Grammatiker Oros im Artikel δ 151 zum Beweis an, dass es sich nicht um schwankende Namensformen für ein und denselben Ort handelt, sondern dass man auch bei Δώτιον/Δώριον zwei verschiedene Örtlichkeiten auseinanderhalten muss; dazu s. auch Billerbeck, The Orus fragments 433–435.

[154] Der Historiker Eutrop erwähnt in der Tat das spanische Neu-Karthago (3,15,3 *Carthaginem Hispaniae capit* [sc. P. Cornelius Scipio]), aber die wenig bekannte armenische Stadt gleichen Namens ist lediglich durch Plutarch bezeugt (Luc. 32,4 τὴν ἐν Ἀρμενίοις Καρχηδόνα).

[155] Wie bereits Holste gesehen hat, rundet Καρχηδόνιος das Kolon ὁ πολίτης ab; entsprechend muss vor σοφὸς Μάγων mit Textverlust gerechnet werden, z. B. ἀφ' ἧς ἦν (vgl. St. Byz. 91,21; ferner 136,16; 152,16). Den Gewährsmann für das Referat über die berühmten Männer aus Karthago nennt die Epitome nicht; hingegen resümiert Eustathios in der fast wörtlichen Übernahme des Artikels (D. P. 195) den Quellenhinweis mit einem blossen φασί, ergänzt sinngemäss ἐξ αὐτῆς (sc. Καρχηδόνος) und harmonisiert die Syntax (ἠκροάσατο).
Hinter dem ‚gelehrten Mago' dürfen wir den punischen Agrarschriftsteller vermuten, s. RE XIV 1,506 Nr. 15; Huss, a.O. bes. 484 Anm. 71 und 76; 506. Zu Hasdrubal-Kleitomachos (D. L. 4,67) s. Dictionnaire des philosophes antiques C 149 (T. Dorandi); K. Geus, Hasdrubal von Karthago – Kleitomachos von Athen. Bemerkungen zum akademischen Skeptizismus, in: K. Geus/K. Zimmermann (Hg.), Punica – Libyca – Ptolemaica. Festschrift Werner Huß (Leuven 2001) 345–354.

105 Κάσιον· ὄρος καὶ πόλις Αἰγύπτου πρὸς τῷ Πηλουσίῳ. ἐκλήθη δὲ ἀπὸ τῆς Κυκλάδος νήσου ἢ ἀπὸ Κάσου τοῦ Κλεόχου, ἀφ' οὗ καὶ Κασίου 20 Διὸς ἱερόν. ὁ πολίτης Κασιώτης ὡς Πηλουσιώτης, καὶ θηλυκὸν Κασιῶτις, καὶ τὸ κτητικὸν Κασιωτικός, ἀφ' οὗ ἐν τῇ συνηθείᾳ τὰ Κασιωτικὰ ἱμάτια. 5

364 **106 Κασμένη**· πόλις Σικελίας. Ἡρόδοτος ζ̄ (7,155,2). ὁ πολίτης Κασμεναῖος καὶ Κασμεναία.

107 Κάσος· μία τῶν Κυκλάδων. „οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε" (Β 676). ἐκαλεῖτο δ' Ἄχνη καὶ Ἀστράβη. 5 κέκληται δὲ ἀπὸ τοῦ Κάσου τοῦ Κλεόχου πατρός. ἀπῴκισται δὲ τῆς νήσου καὶ τὸ ἐν Συρίᾳ ὄρος Κάσιον. ἔστι καὶ ἑτέρα Περσίδος καὶ πόλις. τὸ ἐθνικὸν Κάσιος. 5

108 Κασπάπυρος· πόλις Γανδαρική. Σκυθῶν δὲ ἀντίη. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 295).

---

105 Hdt. 2,6,1 μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν τὸ Κάσιον ὄρος τείνει, similiter 3,5,2; cf. etiam 2,158,4 ἀπὸ τοῦ Κασίου ὄρεος τοῦ οὐρίζοντος Αἴγυπτόν τε καὶ Συρίην; passim apud Strabonem memoratur, cf. e.g. 16,2,33 (C 760,5) ἔστι δὲ τὸ Κάσιον θινώδης τις λόφος ἀκρωτηριάζων ἄνυδρος, ὅπου τὸ Πομπηΐου τοῦ Μάγνου σῶμα κεῖται καὶ Διός ἐστιν ἱερὸν Κασίου Eust. D. P. 260 (p. 263,3) Ὅτι πρὸς ἀνατολὰς Αἰγύπτου περὶ τὴν Κασιώτιδα πέτραν, ἤτοι περὶ τὸ Κάσιον ὄρος, ἡ πόλις τὸ Πηλούσιον κεῖται, πρὸς τῷ ἐξ αὐτοῦ παρωνύμῳ Πελουσιακῷ τοῦ Νείλου στόματι ἀνατολικῷ ὄντι. … ἰστέον δὲ ὅτι τὸ Κάσιον Ἡρόδοτος ὁρίζειν φησὶ τὴν Αἴγυπτον καὶ τὴν Συρίαν· καὶ ὅτι τὰ νῦν ἰδιωτικῶς Κασιανὰ ὑφάσματα λεγόμενα ἐκ τῶν περὶ τὸ ῥηθὲν Κάσιον ὄρος τὴν ἀρχὴν τῆς κλήσεως ἐοίκασι λαβεῖν, ὡς ὑπεμφαίνει ὁ γράψας τὰ Ἐθνικά, ἐν λόγῳ τιθεὶς τὰ Κασιωτικὰ ἱμάτια; cf. etiam Sch. D. P. 113 (p. 436a15); Eust. D. P. 248 (p. 260,44) **106** Hdt. 7,155,2 ὁ Γέλων καταγαγὼν τούτους ἐκ Κασμένης πόλιος ἐς τὰς Συρηκούσας ἔσχε καὶ ταύτας, sed Κασμέναι apud Th. 6,5,2 **107** Str. 10,5,18 (C 489,12) Κάσος δὲ ταύτης μὲν ἀπὸ ἑβδομήκοντά ἐστι σταδίων, τοῦ δὲ Σαμωνίου, τοῦ ἄκρου τῆς Κρήτης, διακοσίων πεντήκοντα. κύκλον δὲ ἔχει σταδίων ὀγδοήκοντα. ἔστι δ' ἐν αὐτῇ καὶ πόλις ὁμώνυμος, καὶ Κασίων νῆσοι καλούμεναι πλείους περὶ αὐτήν; Ptol. Geog. 5,2,32 (5,2,19) Κάσου νήσου ἡ πόλις Plin. nat 4,70 *Casos quae Astrabe*; 5,133 *Casos Achne* (olim S. Gelenius [ed. Basileae 1554], vv. ll.) **108** Hdt. 4,44,1–2 Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη, ὃς βουλόμενος Ἰνδὸν ποταμόν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθείην ἐρέειν καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα. οἱ δὲ ὁρμηθέντες ἐκ Κασπατύρου τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν, διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας τοὺς πρότερον εἶπα ἀπέστειλε περιπλέειν Λιβύην

---

105 2 Κάσου Ald.: κάστου RQPN Κλεόχου Meineke: κλεούχου RQPN 3 κασιῶτις QPN: -ώτης R **106** 2 κασμεναία QPN: -νέα R **107** 1 ἄρα νίσυρόν PN: ἄρα (-αν Q) ἴσυρον RQ 2 Κράπαθόν Xylander (ex Hom. codd.): κάρπαθόν QPN, κάρπασόν R Ἄχνη Berkel (e Plin.): ἄμφη RQPN 3 κλεόχου R[pc]: κλεομάχου R[ac]QPN 5 καὶ ante τὸ ἐθνικὸν add. PN **108** 1 Κασπάπυρος RQPN, sed cf. Hdt. 3,102,1 Κασπατύρῳ et 4,44,2 Κασπατύρου (Κασταπύρου DSV) ἀντίη E. von Sieglin: ἀκτή RQPN, ἀντίη <κεῖται> Jacoby dub.

105. Kasion, Hügel und Stadt in Ägypten, bei Pelusion.[156] Der Name kommt <entweder> von der Kykladeninsel <Kasos> oder von Kasos, dem Vater des Kleochos.[157] Von diesem <Hügel> hat das Heiligtum des Zeus Kasios <den Namen>. Der Bürger <heisst> Kasiot, wie Pelusiot, das Femininum dazu Kasiotidin und das Ktetikon kasiotischer; daher in der Landessprache die Bezeichnung ‚Kasiotische Gewänder'.

106. Kasmene, Stadt auf Sizilien.[158] Herodot <erwähnt sie> im siebten Buch (7,155,2). Der Bürger <heisst> Kasmenaier, und Kasmenaierin <lautet das Femininum dazu>.

107. Kasos, eine der Kykladen.[159] „Jene auch, welche Nisyros, Krapathos sowie Kasos bewohnten" (Il. 2,676). <Früher> hiess <die Insel> indes Achne bzw. Astrabe. Benannt ist sie also nach Kasos, dem Vater des Kleochos. Von dieser Insel aus ist der Berg Kasion, <sowohl jener bei Pelusion> als auch derjenige in Syrien, besiedelt worden. Es gibt noch eine weitere <Insel namens Kasos>, eine persische mit einer Stadt <gleichen Namens>. Das Ethnikon <lautet> Kasier.[160]

108. Kaspapyros, gandharische Stadt. Den Skythen gegenüber <gelegen; so berichtet> Hekataios in der *Asia* (FGrHist 1 F 295).[161]

---

[156] Calderini/Daris, Dizionario 3,1,82; RE X 2,2264,21. Es gibt zwei Erhebungen, welche als ὄρος Κάσιον bezeichnet werden und ein Heiligtum des Zeus Kasios besitzen, einerseits der hier gemeinte Sandhügel in der Nähe von Pelusion und des Sirbonis-Sees (vgl. St. Byz. 572,4; Str. 16,2,32 f. [C 759,34]), andererseits der hoch über dem syrischen Pieria aufragende Berg am Orontes (s. RE X 2,2263 Nr. 2a).

[157] Über den Eponym ist weiter nichts bekannt; zum Verwandtschaftsgrad vgl. unten κ 107.

[158] Inventory Nr. 29; BTCGI 10,289–296.

[159] Inventory Nr. 490; Visser, Homers Katalog der Schiffe 634 f.

[160] Die Einträge κ 105 und κ 107 sind eng verknüpft, so z. B. in der Namensetymologie und im Hinweis auf ὄρος Κάσιον. Die alphabetische Reihenfolge widerrät, sie zu einem ursprünglich einzigen Artikel zu verschmelzen; doch zeigen die Unsicherheiten in der Überlieferung, dass der Epitomator mit Blick auf beide Lemmata seine Vorlage gekürzt hat.

[161] Ausführlich über diesen Artikel F. Pownall, in: BNJ 1 F 295 ad loc. Die Stadt ist nicht sicher zu identifizieren; am Fluss Kabul gelegen (?), diente sie – wie Herodot (4,44) in Anlehnung an Hekataios berichtet – dem Seefahrer Skylax von Karyanda als Ausgangspunkt für seine Expedition gegen Westen; s. ferner Karttunen, India in early Greek literature 41–46.

10 **109 Κάσπειρος**· πόλις Πάρθων προσεχὴς τῇ Ἰνδικῇ. Ἡρόδοτος γ̅ (3,93,3). τὸ ἐθνικὸν Κάσπειροι, ὡς Διονύσιος ἐν γ̅ Βασσαρικῶν (fr. 6a Livrea = fr. 5a Heitsch) „ἐν δέ τε Κάσπειροι ποσσικλυτοί, ἐν δ' Ἀριηνοί". καὶ πάλιν (fr. 6b Livrea = fr. 5b Heitsch)

Κοσσαῖος γενεὴν Κασπειρόθεν, οἵ ῥά τε πάντων 5
15 Ἰνδῶν ὅσσοι ἔασιν ἀφάρτερα γούνατ' ἔχουσιν·
ὅσσον γάρ τ' ἐν ὄρεσσιν ἀριστεύουσι λέοντες,
ἢ ὁπόσον δελφῖνες ἔσω ἁλὸς ἠχηέσσης,
αἰετὸς εἰν ὄρνισι μεταπρέπει ἀγρομένοισιν,
ἵπποι τε πλακόεντος ἔσω πεδίοιο θέοντες, 10
20 τόσσον ἐλαφροτάτοισι περιπροφέρουσι πόδεσσιν
Κάσπειροι μετὰ φῦλα τά τ' ἄφθιτος ἔλλαχεν ἠώς.

365 ἔδει οὖν ὡς Στάγειρος Σταγειρίτης, οὕτως Κάσπειρος Κασπειρίτης. ἀλλ' οἱ βάρβαροι Ἑλληνικὴν ἀναλογίαν οὐ φυλάττουσι.

110 Κασπία θάλασσα· οἱ ἐξ αὐτῆς Κάσπιοι καὶ Κάσπιον ὄρος καὶ Κάσπιοι ἄνδρες καὶ Κασπία γῆ καὶ Κάσπιον. λέγεται καὶ Ὑρκανία ἡ 5 Κασπία. τινὲς δὲ ταύτας διακρίνουσι. „φασὶ δὲ τὴν ἔξω θάλατταν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες Μεγάλην θάλατταν, οἱ δ' Ἕλληνες Ἀτλαντικὸν πέλαγος <***>" (Favorin. fr. 95a 5 Amato = fr. 82 Barigazzi). γίνεται δὲ Κασπιανός ἐκ τοῦ Κασπία ὡς Καρδιανός.

---

109 Hdt. 3,93,3 Κάσπιοι … Πάρθοι; 7,86,1 Βάκτριοι δὲ ἐσκευάδατο ὡσαύτως καὶ ἐν τῷ πεζῷ, καὶ Κάσπιοι ὁμοίως Ptol. Geog. 7,1,47 Τὰ δὲ ἐντεῦθεν πρὸς ἀνατολὰς κατέχουσι μέχρι τοῦ Οὐινδίου ὄρους Κασπειραῖοι (Κασπιραῖοι), καὶ ἐν αὐτοῖς πόλεις αἵδε· … (49) Κάσπειρα **110** D. P. 730 Κάσπιοι ἄνδρες Eust. D. P. 730 (p. 345,29) οἱ Κάσπιοι μετ' αὐτοὺς ὄντες ἔθνος λόγου ἄξιον· ἀφ' ὧν καὶ ἡ θάλασσα Κασπία καλεῖται, ὡς καὶ ἀπὸ τῶν Ὑρκανίων Ὑρκανία; cf. etiam Eust. D. P. 1034 (p. 393,10) St. Byz. 706,17 Φαβωρῖνος ἐν ταῖς Παντοδαπαῖς ἱστορίαις (fr. 95 Amato = 82 Barigazzi) „προσαγορεύουσι δὲ τὴν ἔξω θάλατταν ἐκεῖ (vel ἐκείνην Holste: ἐκεῖνον RQPN, ἐκείνῃ dub. Meineke) μὲν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες Μεγάλην θάλατταν, οἱ δ' Ἕλληνες Ἀτλαντικὸν πέλαγος" possessivum usitatum Κάσπιος, -ια, -ιον Κάσπιαι πύλαι laudantur a St. Byz. μ 172

---

109 3 ποσσικλυτοί Meineke (mon. Gavel [Misc. obs. 7,785], qui ποσσὶν κλυτοί correxerat): ποσὶ κλειτοί RQPN 5 κατασπειρόθεν R 6 ὅσσοι R: ὅσοι QPN ἔασιν QPN: ἔασσιν R 7 ὄρεσσιν PN: ορεσσιν (sine acc.) Q, ὄρεσιν R 8 ὁπόσον Bernhardy: ὁπόσα RQPN ἠχήέσης P 10 πλακόεντες R 11 τόσσον RQ: τόσον PN ἐλαφροτάτοισι RQ: -φρότατοι PN περιπροφέρουσι R: προφέρουσι QPN 12 ἔλλαχεν Xylander: ἔλαχεν RQPN ἠώς N: ἢ ὡς RQP **110** 4 οἰκοῦντες QPN: ᾠκοῦντες R 5 lac. indic. Berkel

109. Kaspeiros, Stadt der Parther, Indien benachbart.[162] Herodot <erwähnt ihre Bewohner> im dritten Buch (3,93,3). Das Ethnikon <lautet im Plural> Kaspeirer, wie Dionysios im dritten Buch der *Bassarika* (fr. 6a Livrea = fr. 5a Heitsch) <zeigt>: „Unter ihnen sind auch die Kaspeirer, welche ihren Ruf den schnellen Füssen verdanken, unter ihnen auch die Ariëner". Und anschliessend <sagt er> (fr. 6b Livrea = fr. 5b Heitsch):

Kossaios <führte sie an>, aus Kaspeiros gebürtig, sie,
die hurtigere Knie haben als alle Inder.
Wie nämlich die Löwen in den Bergen die tüchtigsten <Tiere im Laufen> sind
oder die Delphine in der hallenden Salzflut <die schnellsten Schwimmer>,
<wie> der Adler unter den versammelten Vögeln hervorragt
und <wie> die Pferde auf der flachen Ebene als die <besten> Renner <gelten>,
zeichnen sich die Kaspeirer ringsum durch die flinkesten Füsse aus
unter den Stämmen, welche die unsterbliche Morgenröte sich erlost hat.

Man müsste nun, wie <man von> Stageiros <das Ethnikon> Stageirit <ableitet, zu> Kaspeiros Kaspeirit <bilden>; aber die Barbaren respektieren die griechische Analogiebildung nicht.

110. Kaspisches Meer, auf welches man die Kaspier zurückführt sowie das Kaspische Gebirge (d.h. Kaukasos) und die kaspischen Männer, ferner das Gebiet Kaspien und das Kaspische Meer (Κάσπιον πέλαγος). <Überdies> heisst die Kaspische See auch die Hyrkanische. Einige unterscheiden jedoch diese beiden voneinander. „Das äussere Meer nennt die Mehrzahl der Barbaren Ozean, die Bewohner Asiens <nennen es> jedoch Grosses Meer, die Griechen hingegen Atlantik <***>" (Favorin. fr. 95a Amato = fr. 82 Barigazzi).[163] <Das Ethnikon> Kaspianer kommt von der Form Kaspia, wie Kardianer <von Kardia>.

---

[162] RE X 2,2270–2272.

[163] Der Quellenautor ist durch dasselbe Zitat mit Namensangabe im Artikel Ὠκεανός (706,17) gesichert. Freilich bleibt es auch dort verstümmelt; zu möglichen Rekonstruktionsversuchen s. Amato ad loc. (S. 343 f.), wobei die Zitiertechnik des Stephanos freilich Textausfall am Schluss vermuten lässt (so richtig Berkel). Die Frage, ob das Kaspische Meer eine Einbuchtung des Ozeans darstellt oder ein grosser Binnensee ist, wurde in der Antike kontrovers diskutiert; ausführlich dazu RE X 2,2276–2285, ferner Radt, Kommentar 7,270.

10 **111 Κασάνδρεια**· πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ἥ ποτε Ποτίδαια λεγομένη, ἀπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου. ὁ πολίτης Κασανδρεύς. Ποσίδιππος δὲ κωμῳδίας ποιητὴς (test. 2 Kassel/Austin [PCG VII 561]) υἱὸς ἦν Κυνίσκου Κασανδρέως.

112 Κασσανῖται· ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρ-
15 κιανὸς ἐν Περίπλῳ αὐτῆς (1,18 [GGM 1,527,13]) „ἐντεῦθεν ἐκδέχεται τὸ τῶν Κασσανιτῶν ἔθνος".

113 Κασσάνωρος· πόλις Αἰγυπτία, ἧς μέμνηται Ἔφορος κϛ (FGrHist 70 F 86). τὸ ἐθνικὸν Κασσανωρίτης.

114 Κασσίτερα· νῆσος ἐν τῷ Ὠκεανῷ, τῇ Ἰνδικῇ προσεχής, ὡς Διο-
20 νύσιος ἐν Βασσαρικοῖς (fr. 10 Livrea = p. 61 Heitsch). ἐξ ἧς ὁ κασσίτερος.

115 Κασσώπη· πόλις ἐν Μολοσσοῖς, ἐπώνυμος τῇ Κασσωπίᾳ χώρᾳ. τὸ ἐθνικὸν Κασσωπαῖος καὶ Κασσώπιος καὶ Κασσωπία. ἀπὸ τοῦ Κασσώπιος Κασσωπιάς ὡς Ἑλικωνιάς. Ἡρόδωρος (FGrHist 31 F 35 = fr. 35
366 Fowler) δὲ Κασσωπούς αὐτούς φησιν, ἴσως κακῶς. πάντες δὲ διὰ δύο σσ, Ἡρωδιανὸς (2,531,1) δὲ μόνος δι' ἑνὸς σ. 5

116 Κασтάβαλα· Κιλικίας {καὶ Φοινίκης} πόλις. Στράβων ιβ (12,2,7 [C 537,23]). ὁ πολίτης Κασταβαλεύς. <ἐνταῦθα Ἀρτέμιδος ἱερόν,> ἣ καὶ
5 Περασία ἐκαλεῖτο.

111 Str. 7 fr. 14a,4 ὄνομα δὲ τῇ χερρονήσῳ Παλλήνη, πενταστάδιον δ' ἔχει τὸν ἰσθμὸν διορωρυγμένον· κεῖται δ' ἐπ' αὐτῷ πόλις ἡ πρότερον μὲν Ποτίδαια, Κορινθίων κτίσμα, ὕστερον δὲ Κασάνδρεια ἀπὸ τοῦ αὐτοῦ βασιλέως Κασάνδρου ἀναλαβόντος αὐτὴν ἀνατετραμμένην Suid. π 2111 Ποσίδιππος, Κασανδρεύς, υἱὸς Κυνίσκου, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας, κωμικός **112** Ptol. Geog. 6,7,6 Κασσανιτῶν χώρας· Βαδεὼ Βασίλειον; cf. St. Byz. β 9 **115** Ptol. Geog. 3,14,8 (3,13,6) Κασσωπαίων (κασσιοπαίων Ω), ὑπὲρ οὓς εἰσὶ Δόλοπες· Κασσώπη (Wilberg, κασσιόπη codd. plur.); Procop. Goth. 4,22,26 Κασώπη D. S. 19,88,3 περὶ Κασσωπίαν (κασωπίαν R) πόλιν Theognost. An. Ox. 2,116,14 Τὰ διὰ τοῦ οπη ὑπὲρ δύο συλλαβὰς κύρια βαρύτονα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, Καλλιόπη· Ἀντιόπη· Μερόπη· Στερόπη· ἐνοπὴ τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν· τὸ Σινώπη· Εὐρώπη· Κερκώπη· Μετώπη ὁ ποταμός· Κασσιώπη· κύρια, σεσημείωται διὰ τοῦ ω μεγάλου γραφόμενα· ὁμοίως καὶ τὸ Κασώπη ἡ πόλις **116** Str. 12,2,7 (C 537,22) τὰ δὲ Τύανα ἐπίκειται χώματι Σεμιράμιδος τετειχισμένῳ καλῶς. οὐ πολὺ δ' ἄπωθεν ταύτης ἐστὶ τά τε Καστάβαλα καὶ τὰ Κύβιστρα, ἔτι μᾶλλον τῷ ὄρει πλησιάζοντα πολίσματα· ὧν ἐν τοῖς Κασταβάλοις ἐστὶ τὸ τῆς Περασίας Ἀρτέμιδος ἱερόν, ὅπου φασὶ τὰς ἱερείας γυμνοῖς τοῖς ποσὶ δι' ἀνθρακιᾶς βαδίζειν ἀπαθεῖς· … . ἐν μὲν δὴ τῇ Τυανίτιδι στρατηγίᾳ τῶν λεχθεισῶν δέκα ἐστὶ πόλις τὰ Τύανα (τὰς δ' ἐπικτήτους οὐ συναριθμῶ ταύταις, τὰ Καστάβαλα καὶ τὰ Κύβιστρα καὶ τὰ ἐν τῇ Τραχείᾳ Κιλικίᾳ …); cf. etiam 12,1,4 (C 534,32)

112 1 Κασσανίται R 2 τὸ om. N 3 κασανιτῶν R **113** 1 Κασσάνορος R **114** 1 Κασσίτερα Meineke: Κασσίτιρα RQPN 2 βασσαρικοῖς PN: -ικῶν RQ **115** 1 Μολοσσοῖς Holste: μολοσσῶ RQPN 3 ἡρώδωρος R 4 κασσωποὺς R (cf. St. Byz. 686,11): κασσώπους QPN 5 σ om. PN **116** 1 καὶ Φοινίκης secl. Holste 2 ἐνταῦθα Ἀρτέμιδος ἱερόν add. Holste (e Str.)

111. Kasandreia, Stadt in Makedonien, im Grenzgebiet zu Thrakien <gelegen>;[164] sie hiess einst Potidaia, <jetzt aber Kasandreia> nach Kasandros, dem Sohn des Antipatros. Der Bürger <heisst> Kasandreer. Posidippos, der Komödiendichter (test. 2 Kassel/Austin [PCG VII 561]), war der Sohn des Kyniskos, eines Kasandreers.

112. Kassaniten, Volk <mit Wohnsitz> an der Küste des Roten Meers. Markianos <erwähnt es> im *Periplus* desselben (1,18 [GGM 1,527,13]): „Darauf folgt das Volk der Kassaniten".

113. Kassanoros, ägyptische Stadt, die Ephoros im sechsundzwanzigsten Buch (FGrHist 70 F 86) erwähnt. Das Ethnikon <lautet> Kassanorit.

114. Kassitera, Insel im Ozean, Indien benachbart, wie Dionysios in den *Bassarika* (fr. 10 Livrea = p. 61 Heitsch) <angibt>. Von dort stammt das Zinn.[165]

115. Kassope, Stadt im <Land> der Molosser, Namensgeberin der Landschaft Kassopien.[166] Das Ethnikon <lautet> Kassopaier und Kassopier sowie Kassopierin <im Femininum>. Von <der Form> Κασσώπιος kommt <die feminine Form> Κασσωπιάς (Kassopiadin), <gebildet> wie Ἑλικωνιάς (Helikoniadin). Herodoros (FGrHist 31 F 35 = fr. 35 Fowler) nennt die Einwohner jedoch Kassoper, vielleicht zu Unrecht. Alle indes <schreiben das Ethnikon> mit doppeltem σ, allein Herodian (2,531,1) <buchstabiert es> mit einem σ.

116. Kastabala, Stadt in Kilikien.[167] Strabon <erwähnt sie> im zwölften Buch (12,2,7 [C 537,23]). Der Bürger <heisst> Kastabaleer. Dort <gibt es> ein Heiligtum der Artemis, die auch Perasia <mit Beinamen> genannt wurde.

---

[164] Cohen, Hell. settlements 1,95–99; Papazoglou, Villes de Macédoine 424–426. Die alphabetische Reihenfolge deutet auf die später üblichere Schreibweise des Toponyms mit -σσ-; doch wie hier bewahrt auch der entsprechende Artikel Ποτίδαια (St. Byz. 533,16) die einfache Schreibung.

[165] Die Zinninseln erwähnt bereits Herodot, doch kann er sie nicht genau lokalisieren, 3,115,1 οὔτε νήσους οἶδα Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. Widersprüchliche geographische Angaben finden sich auch bei späteren Autoren; dazu s. DNP 6,356 (Kattiterides) und 12/2,809, sowie Radt, Kommentar 5,400. Wenn hier der Epiker Dionysios als Gewährsmann für die Lage der Insel im fernen Osten herangezogen wird, dürfte es sich, wie bereits Berkel vermutete, um eine geographische Notlösung handeln.

[166] Inventory Nr. 100.

[167] Cohen, Hell. settlements 1,366–368. Weshalb hier noch Phönizien als geographische Bestimmung erscheint, ist nicht mehr auszumachen. Umstritten bleibt, ob Strabon mit Kastabala eine andere Stadt meint als die auch Hierapolis genannte kilikische bzw. sich in der Lokalisierung geirrt hat; s. Radt, Kommentar 7,332 f.

117 Κασταλία· πόλις Κιλικίας. Θεαγένης ἐν Καρικοῖς (FGrHist 774 F 16). τὸ ἐθνικὸν Κασταλιώτης. ὁ τύπος τοῖς Κίλιξι συνήθης.

118 Καστάλων· μεγίστη πόλις Ὠριτανίας, ὡς Ἀρτεμίδωρος γ̄ Γεωγραφουμένων (fr. 18 Stiehle). τὸ ἐθνικὸν Κασταλωνίτης ὡς Ἀσκαλωνίτης Ταρρακωνίτης.

11 **119 Κασταναία**· Εὔδοξος (fr. 356 Lasserre) δὲ διὰ τοῦ θ φησί. „καὶ Κασταναίαν ἀκτέριστον ἐν πέτραις" (Lyc. 907). τὸ ἐθνικὸν Κασταναῖος. ἔστι καὶ Καστανία διὰ τοῦ ι πόλις πλησίον Τάραντος. τὸ ἐθνικὸν Κασταniάτης.

15 **120 Κάσταξ**· Κάστακος, ὡς Νάρυξ Νάρυκος, πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Καστακαῖος ὡς Ναρυκαῖος. ὁ Ἀππιανός (Hisp. 127) φησι.

121 Κάστνιον· ὄρος ἐν Ἀσπένδῳ τῆς Παμφυλίας. τὸ ἐθνικὸν Κάστνιος καὶ Κάστνιον, ἐξ οὗ καὶ Καστνιήτης. ἔδει δὲ Καστνιώτης ὡς Πηλιώτης.

20 **122 Καστωλοῦ πεδίον**· Δωριέων, ὡς Ξενοφῶν (An. 1,1,2). ἐκλήθη δὲ ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοί φασιν. ἦν δὲ πόλις ἐν Λυδίᾳ Καστωλός. τὸ ἐθνικὸν Καστώλιος ὡς Σπαρτώλιος. καὶ τὸ κτητικὸν Καστωλικός.

---

117 St. Byz. α 129 Αἰλία· … . ὁ πολίτης Αἰλιώτης, ὡς Κασταλιώτης Ἰταλιώτης **118** St. Byz. 710,4 Ὠρία (Casaubonus, Ὠρισία RQPN)· πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Ὠριτανός. Ἀρτεμίδωρος ἐν β̄ Γεωγραφουμένων (fr. 18 Stiehle) „ἀμφότεροι γὰρ" φησί „κατοικοῦσι τὴν παραλίαν καί τινα τῆς μεσογείου, πρῶτον μὲν Ὠριτανοί, πόλεις δ᾿ ἐν αὐτοῖς εἰσι μεγάλαι Ὠρία (Casaubonus, ὀρσία RQPN) καὶ Καστάλων (Pinedo, κατάλων RQPN)" Str. 3,3,2 (C 152,25) τῆς μὲν οὖν Ὠρητανίας κρατιστεύουσαί εἰσι πόλεις Κάστλων (Radt, καιτουλον [sine acc.] A[pc], καίτουλον BC[ac], καιτοῦλον C[pc]) καὶ Ὠρία **119** Sch. Lyc. (Tzetzes) 907 Κασταναία πόλις Μαγνησίας τῆς Θετταλικῆς (coll. EM 493,25) **120** App. Hisp. 127 Σιλανὸς δ᾿ ἀπέσταλτο μὲν ὑπὸ τοῦ Σκιπίωνος Κάστακα πόλιν προσαγαγέσθαι, πολεμικῶς δ᾿ αὐτῷ τῶν Καστακαίων ἐχόντων παρεστρατοπέδευε … (130) ἀφικόμενος δ᾿ ἐς τὴν Κάστακα ὁ Σκιπίων τὸν μὲν στρατὸν ἐς τρία διεῖλε καὶ τὴν πόλιν ἐφρούρει, μάχης δ᾿ οὐκ ἦρχε, διδοὺς ἔτι τοῖς Καστακαίοις μεταγνῶναι **121** Str. 9,5,17 (C 437,36) Καλλίμαχος μὲν οὖν φησιν ἐν τοῖς Ἰάμβοις (fr. 200a Pfeiffer) τὰς Ἀφροδίτας – ‚ἡ θεὸς γὰρ οὐ μία' – τὴν Καστνιῆτιν ὑπερβάλλεσθαι πάσας τῷ φρονεῖν, ὅτι μόνη παραδέχεται τὴν τῶν ὑῶν θυσίαν, cum Call. Dieg. VIII 41 Ἐν Ἀσπένδῳ τῆς Παμφυλίας τῇ Καστνίῃ Ἀφροδίτῃ ὗς ἱερουργεῖται ἐντεῦθεν; SEG 17 (1960) Nr. 641 (ex Aspendo) Ἀφροδείταις Καστνιήτισιν de gentili cf. Lyc. 403 τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεὸν cum Sch. (Tzetzes) ad loc. Καστνίαν τὴν Ἀφροδίτην τὴν μοιχάδα. Καστνίαν δὲ τὴν ἀδελφοποιόν· τοὺς γὰρ ξένους ἀδελφοὺς καὶ φίλους τὰ ἐρωτικὰ ποιοῦσιν **122** X. An. 1,1,2 et 1,9,7 εἰς Καστωλοῦ πεδίον X. HG 1,4,3 εἰς Καστωλὸν de accentu cf. St. Byz. α 146 τὰ γὰρ εἰς ωλος ἀρσενικὰ πρὸ τοῦ ω τὸ τ ἔχοντα ὀξύνεται, Καστωλός Πακτωλός ἁμαρτωλός; Ps.-Arc. 65,2

---

118 1 Καστάλων QPN: Κασταλών R Ὠριτανίας Holste: ῥιτανίας RQPN 3 Ταρρακωνίτης om. R **119** 1 Κασταναία R[ac]Q[ac]P[pc]N: Κασθαναία R[pc]Q[pc]P[ac] post lemma <πόλις Θετταλίας> Meineke, <πόλις Μαγνησίας> Scheer κασταναίαν QPN Lyc.: κασθ- R 2 ἀκτέριστον QPN Lyc.: ἀκτερίστον R 3 καστανία (ex -αία) R πλησίον τάραντος PN: τάραντος πλησίον RQ **120** 1 ναρυξ (sine acc.) P **121** novum tmema indic. Holste: cum praecedenti coniunctum RQPN 1 Κάστνιον Ald.: Κάστινον RQPN 2 πηλιώτης PN (cf. St. Byz. α 176, α 265): πηλώτης RQ **122** 1 Καστωλοῦ πεδίον· R: Καστωλοῦ· πεδίον QPN 2–3 Καστωλοὺς … Καστωλός Berkel (e St. Byz. α 146): καστώλους … κάστωλος R(alterum ex -νος corr.)QPN 4 καστωλικὸς (ex -ὸν) P

117. Kastalia, Stadt in Kilikien. Theagenes <erwähnt sie> in den *Karika* (FGrHist 774 F 16).[168] Das Ethnikon <lautet> Kastaliot. Der Bildungstypus ist für die Kilikier gewöhnlich.[169]

118. Kastalon, überaus grosse Stadt in Oritanien, wie Artemidor im dritten Buch der *Geographumena* (fr. 18 Stiehle) <angibt>.[170] Das Ethnikon <lautet> Kastalonit, wie Askalonit und Tarrakonit.

119. Kastanaia, Eudoxos (fr. 356 Lasserre) schreibt <ihren Namen> jedoch mit θ (d.h. Kasthanaia).[171] „Und <nach> Kastanaia <sich sehnend, werden sie auf alle Zeit> ohne Leichenfeier <jammern, zerschellt> an Felsen" (Lyc. 907). Das Ethnikon <lautet> Kastanaier. Zudem gibt es Kastania, mit ι <in der vorletzten Silbe geschrieben>, eine Stadt in der Nähe von Tarent. Das Ethnikon <lautet> Kastaniat.

120. Kastax, <mit Genitiv> Κάστακος, <gebildet> wie Naryx <mit Genitiv> Νάρυκος, Stadt in Iberien.[172] Das Ethnikon <lautet> Kastakaier, wie Narykaier. Appian (Hisp. 127) verwendet es.

203. Kranaë, lakonische Insel. Homer (Il. 3,445) <sagt>: „und ich (d.h. Alexander) auf der Insel Kranaë <dir> (d.h. Helena) beiwohnte“. Diese <Insel> liegt vor <der Hafenstadt> Gytheion. So hiess auch <die Halbinsel> Attika, nach Kranaos <benannt>. Einige haben nämlich das homerische Kranaë so aufgefasst, als Bezeichnung für die attische <Insel>; Helene heisst sie jetzt. Mir scheint <jedoch>, Alexander bezeichne nicht den zwischen die Inseln hindurch unternommenen Seeweg, <also die Route> in die diesseitige Richtung, sondern jenen, der aussen <herumführt>.[295] Weil er nämlich den Verdacht hegte, man werde ihn verfolgen, nahm er den Seeweg mit Kreta zu seiner Linken und gelangte <die Küste> Kleinasiens entlang nach Phönizien.[296] Das Ethnikon <lautet>, wenn es zur lakonischen Insel gehört, Kranaat, <gebildet> wie Karyat; gehört es aber zu jener, die Attika vorgelagert ist, <lautet es> Kranaier, wie Athenaier.

204. Kraneia, Ort im Gebiet der Ambrakioten.[297] Theopomp <erwähnt Kraneia> im einundfünfzigsten Buch (FGrHist 115 F 229). Das Ethnikon <lautet> Kraneiat, wie Maleiat,[298] wie Sophokles in den *Larisaiern* (fr. 383 Radt) sagt.

205. Kranides, Ansiedlung am Schwarzen Meer.[299] Parthenios <erwähnt sie> in der *Anthippe* (fr. 15 Lightfoot = SH 627). Das Ethnikon <lautet> Kraniten.

---

[295] Im Nachgang von Xylander hat Holste aus der gestörten Überlieferung mit geringen Eingriffen Sinn gewonnen. Freilich stellt sich die Frage, ob sich hinter den überlieferten pluralen Genitivformen nicht eine ursprüngliche Verallgemeinerung versteckt, im Sinn von „Alexander bezeichne nicht die Route jener, welche durch die Inseln, also in die diesseitige Richtung, segeln, sondern jener, welche aussen <herumfahren>“.

[296] Die Deutung von Il. 3,445 war in der Antike umstritten (vgl. Paus. 3,22,1; Str. 9,1,22), zumal es sich bei Κραναῇ lediglich um ein Adjektiv handeln könnte (vgl. Sch. A ad Γ 445; Eust. ad Γ 445 [I 681,20]). In der Diskussion singulär ist die Erklärung des Stephanos, der als Argument für die Lokalisierung in Lakonien die Reiseroute des Paris anführt. Was die attische Insel Helene anbelangt, folgt er im einschlägigen Artikel ebenfalls Pausanias (1,35,1), der sie mit Helenas Rückfahrt in Verbindung bringt, vgl. ε 44 Ἑλένη· νῆσος τῆς Ἀττικῆς, Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 128). ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου.

[297] Vielleicht identisch mit dem ambrakiotischen Koroneia (κ 180); s. Inventory S. 353.

[298] Ein Ethnikon Μαρειάτης, wie es die Hss RQPN einhellig überliefern, ist nicht weiter belegt; die übliche Bildung zu Μάρεια ist hingegen Μαρεώτης (α 139, ε 150, κ 97; 554,11) und Μαρειώτης (α 73). Am nächsten liegt daher Gavels Verbesserung Μαλειάτης zu Μάλεια (μ 37), auch wenn diese Form des Ethnikons nicht belegt ist, vgl. hingegen α 105 Μαλειήτης sowie β 27, ζ 15 usw. für Toponyme auf -εια mit Bildung des Ethnikons auf -ειάτης.

[299] Möglicherweise identisch mit dem bithynischen Κρηνίδες (vgl. Arr. Peripl. M. Eux. 13,5; Anon. Peripl. M. Eux. 13 [8v15 Diller]; St. Byz. 703,11); s. Lightfoot, Parthenius 158.

206 Κράνιοι· πόλις ἐν Κεφαλληνίᾳ τῇ νήσῳ. τετράπολις δὲ ἡ νῆσος ἀπὸ τῶν Κεφάλου παίδων Πρώνου Σάμου Πηλέως Κρανίου. τὸ ἐθνικὸν Κρανιεῖς.

21 **207 Κραννών**· πόλις τῆς Θεσσαλίας τῆς Πελασγιώτιδος ἐν τοῖς Τέμπε-
382 σιν, ὡς Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 133). ἔστι καὶ ἄλλη πόλις Ἀθαμανίας, ἀπὸ Κράννωνος τοῦ Πελασγοῦ. ἐν ταύτῃ δύο κόρακας εἶναί φασι μόνους, ὡς Καλλίμαχος ἐν τοῖς Θαυμασίοις (fr. 408 Pfeiffer) καὶ Θεόπομπος (FGrHist 115 F 267b). ὅταν δὲ ἄλλους ἐκνεοσσεύσωσιν, ἴσους αὐτοὺς 5
5 καταλιπόντες ἀπέρχονται. ὁ πολίτης Κραννώνιος. Ἡρόδοτος ϛ̅ (6,127,4) „ἐκ δὲ Θεσσαλίης ἦλθε τῶν Σκοπαδέων Διακτορίδης Κραννώνιος". ἀπέχει δὲ σταδίους ρ̅ τῆς Γυρτῶνος ἡ Κραννὼν πόλις, ὥς φησι Στράβων (7 fr. 9e). καὶ Ὅμηρός (N 301) φησιν Ἐφύρους τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς
10 Γυρτωνίους. ἔστι καὶ θηλυκὸν Κραννωνίς ἀπὸ τῆς γενικῆς. 10

---

206 Th. 2,30,2 κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα τετράπολις οὖσα, Παλῆς, Κράνιοι, Σαμαῖοι, Προνναῖοι; Str. 10,2,13 (C 455,26) Τὴν δὲ Κεφαλληνίαν τετράπολιν οὖσαν οὔτ' αὐτὴν εἴρηκε (sc. Ὅμηρος) τῷ νῦν ὀνόματι οὔτε τῶν πόλεων οὐδεμίαν πλὴν μιᾶς, εἴτε Σάμης εἴτε Σάμου, ἣ νῦν μὲν οὐκέτ' ἐστίν, ἴχνη δ' αὐτῆς δείκνυται κατὰ μέσον τὸν πρὸς Ἰθάκῃ πορθμόν (οἱ δ' ἀπ' αὐτῆς Σαμαῖοι καλοῦνται)· αἱ δ' ἄλλαι καὶ νῦν εἰσιν ἔτι, μικραί τινες· Παλεῖς (Holwerda, πόλεις τινές codd.), Πρώνησος καὶ Κράνιοι Et. Gen. (AB) s.v. Κεφαλληνία· ἀπὸ Κεφάλου τινός, ὃς ἀκουσίως ἀνελὼν Πρόκριν τὴν Ἐρεχθέως θυγατέρα ἔξεισι τῆς Ἀττικῆς καὶ σὺν Ἀμφιτρύωνι στρατεύεται κατὰ Τηλεβόων. ἔπειτα δὲ ἐκ Λυσίππης ἔσχεν Πρῶνον καὶ Σαμαῖον καὶ Κραναῖον καὶ Παλέα, ἀφ' ὧν οἱ ἐν τῇ Κεφαλληνίᾳ Πρώνοοι, Σαμαῖοι, Κράνειοι, Παλεῖς προσηγορεύθησαν. οὕτως Ἐπαφρόδιτος ἐν Ὑπομνήματι τῆς Ὀδυσσείας (fr. 46 Braswell/Billerbeck = fr. 49 Lünzner); cf. etiam Sch. Lyc. 791a **207** Eust. ad N 301 (III 475,6) Ὅτι δὲ ἦν καὶ Ἐφύρη ἡ καὶ Κραννὼν λεγομένη, ἀφ' ἧς οἱ ῥηθέντες Κραννώνιοι, ἡ ἱστορία λέγει. ἐν ᾗ δύο μόνους ἀεὶ κόρακας εἶναί φασιν, οἳ ὅταν ἴσους αὐτοῖς ἐκνεοττεύσωσιν, ἀφιπτάμενοι οἴχονται. ἐν δὲ τοῖς τοῦ Γεωγράφου (Str. 7 fr. 9d) δηλοῦται Ἐφύρους μὲν λέγεσθαι τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς Γυρτωνίους, οὕτω πρότερον καλουμένους ἀπὸ Φλεγύου, ἀδελφοῦ Ἰξίονος Ps.-Arist. Mir. 842b10 (= 126 Giannini) Ἐν δὲ Κράννωνι τῆς Θετταλίας φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν; Ps.-Antig. 15a Musso Ἐν δὲ Κράννωνι τῆς Θετταλίας δύο φασὶν μόνον εἶναι κόρακας· … . τούτου δέ τι ἰδιαίτερον ὁ Θεόπομπος (FGrHist 115 F 267a) λέγει· φησὶν γὰρ ἕως τούτου διατρίβειν αὐτοὺς ἐν τῷ Κράννωνι, ἕως ἂν τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν, τοῦτο δὲ ποιήσαντας τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀπιέναι; similiter Plin. nat. 10,31 Str. 7 fr. 9a,2 ἀπέχει δ' ὅσον σταδίους ρ̅ τῆς Γυρτῶνος πόλις Κραννών· καί φασιν, ὅταν εἴπῃ ὁ ποιητής (N 301) „τὼ μὲν ἄρ ἐκ Θρᾴκης" καὶ ἑξῆς, Ἐφύρους μὲν λέγεσθαι τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς Γυρτωνίους

---

206 1 Κράνιοι Berkel: Κράνιον RQPN Κεφαλληνίᾳ Xylander: κεφαληνία RQPN 2 Πρόνου (immo Πρώ- Billerbeck) Σάμου Meineke: πρωνουσσάμα.συ R, πρυνουσσαμα.συ QPN, Προνήσου (Πρω- Holste) Σάμου Xylander (e Str.) Κρανιεῖς Salmasius: κραναεῖς RQPN **207** 1 Κραννών (ex -ανών) R: Κράνων QPN 2 Ἀθαμανίας Xylander: ἀθαμνίας R, ἀθαμνιάς QPN 3 Κράννωνος Meineke: κράνωνος RQPN (cf. Ps.-Arc. 13,13) 5 ἐκνεοσσεύσωσιν (ex -νεοσεύ-) R: ἐκνοσσεύσωσιν QPN 6 Κραννώνιος Meineke: κρανώνιος RQ[pc](ex κράν-)PN 7 γὰρ post Διακτορίδης add. PN Κραννώνιος Meineke (cf. Hdt.): κρανώνιος RQPN 8 Γυρτῶνος Xylander: γόρτωνος RQP[pc], κόρτωνος P[ac]N ἡ ante Κραννὼν R: ἢ QPN Κραννὼν Holste: κράννων Q, κράνων RPN 9 κραννωνίους Q: κρανωνίους RPN 10 Γυρτωνίους Xylander: γορτυνίους R, γορτυναίους QPN ἔστι om. R κραννωνὶς Q: κρανωνὶς RPN

206. Kranioi, Stadt auf der Insel Kephallenia.[300] Die Insel bildet einen Bund aus vier Städten, <benannt> nach Kephalos' Söhnen Pronos, Samos, Peleus und Kranios. Das Ethnikon <lautet> Kranieer.

207. Krannon, Stadt in Thessalien,[301] in der Pelasgiotis, im Tempetal <gelegen>, wie Hekataios in der *Europe* (FGrHist 1 F 133) <angibt>. Es gibt auch eine weitere Stadt <gleichen Namens> in Athamanien, <benannt> nach Krannon, dem Sohn des Pelasgos.[302] In dieser <Stadt Thessaliens> soll es <jeweils> nur zwei Raben geben, wie Kallimachos in den *Thaumasia* (fr. 408 Pfeiffer) und Theopomp (FGrHist 115 F 267b) <sagen>. Jedes Mal, wenn sie Junge ausgebrütet haben, lassen sie sie in gleicher Zahl zurück und fliegen weg. Der Bürger <heisst> Krannonier. Herodot <sagt> im sechsten Buch (6,127,4): „Aus Thessalien aber kam <aus dem Geschlecht> der Skopaden der Krannonier Diaktorides". Die Stadt Krannon ist hundert Stadien von Gyrton entfernt, wie Strabon (7 fr. 9e) angibt. Und Homer (Il. 13,301) nennt die Krannonier Ephyrer, die Gyrtonier aber Phlegyer. Es gibt auch das Femininum Krannonidin, vom Genitiv <Κραννῶνος abgeleitet>.

---

300 Inventory Nr. 125; für die drei anderen Städte der Tetrapolis s. Inventory Nr. 132 (Paleis), Nr. 135 (Pronnoi) und Nr. 136 (Same).

301 Inventory Nr. 400. Die im Artikel schwankende Schreibweise und Akzentuierung von Κραννών hat Meineke konsequent korrigiert; vgl. auch St. Byz. α 130 (κράννων RQPN) und α 144 (κραννών RQPN).

302 Zur nicht weiter belegten Stadt s. Inventory S. 691. Ein Heros gleichen Namens (Κρανών) wird indes auch mit der Umbenennung von Ephyra zu Kran(n)on in Verbindung gebracht (vgl. Sch. Pi. P. 10,85a. c). Das thessalische Krannon als Ort des Rabenwunders nennen zudem übereinstimmend die übrigen Quellen (s. Similia).

208 Κρασέριον· Σικελίας χωρίον. Φίλιστος η̅ (FGrHist 556 F 33). τὸ ἐθνικὸν Κρασερῖνος.

209 Κραστός· πόλις Σικελίας τῶν Σικανῶν. Φίλιστος Σικελικῶν ι̅γ̅ (FGrHist 556 F 44). ἐκ ταύτης ἦν Ἐπίχαρμος ὁ κωμικὸς καὶ Λαΐς ἡ ἑταίρα, ὡς Νεάνθης ἐν τῷ Περὶ ἐνδόξων ἀνδρῶν (FGrHist 84 F 13). ἔχει δὲ ἡ πόλις εὐπρεπεστάτας γυναῖκας, ὡς Φιλήμων (fr. 182 Kassel/Austin [PCG VII 312]). Ἀπίων (FGrHist 616 F 30) δὲ ὅτι μόνος Πολέμων (fr. 44 Preller) ἔφη τὴν Λαΐδα Κορινθίαν. ὁ πολίτης Κραστῖνος καὶ Κραστίνη τὸ θηλυκόν.

210 Κρέμη· πόλις Πόντου. Φλέγων η̅ Χρονικῶν (FGrHist 257 F 15). τὸ ἐθνικὸν Κρεμήσιος ὡς Ἰθακήσιος.

211 Κρεμμυών· κώμη Κορίνθου. Εὔδοξος ϛ̅ Γῆς περιόδου (fr. 312 Lasserre). ὁ πολίτης Κρεμμυώνιος. „ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν Κρεμμυωνίαν ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασὶ καὶ τῶν Θησέως ἄθλων“ (Str. 8,6,22 [C 380,20]). Φαβωρῖνος (fr. 91 Amato = fr. 88 Barigazzi) δὲ ὅτι τοῦ Ἐρυμανθίου καὶ τοῦ Καλυδωνίου μήτηρ ἦν. τὸ δὲ κύριον ὄνομα αὐτῆς ἐκαλεῖτο Φαῖα. ἔστι καὶ Κρομμυών πόλις Λιβύης διὰ τοῦ ο. καὶ Ἑκαταῖος (FGrHist 1 F 349). τὸ ἐθνικὸν Κρομμυώνιος καὶ Κρομμυωνία.

---

209 Anonymus, FGrHist 577 F 1 (= POxy. 665,12–17) Ἀκρα[γαν]τ[ίνων ἐπὶ] | Κραστὸν στρ[ατεία]. | Ἡ γενομέν[η περὶ] | Κραστὸν Ἱμερα[ίων] | καὶ Γελῴων πρὸς Ἀ[κρα]|γαντίνους μάχ[η] Suid. ε 2766 Ἐπίχαρμος· Τιτύρου ἢ Χειμάρου καὶ Σικίδος, Συρακούσιος ἢ ἐκ πόλεως Κραστοῦ τῶν Σικανῶν **211** Str. 8,6,22 (C 380,19) ἡ δὲ Κρομμυών (Tzschucke, κρομυ- codd.) ἐστι κώμη τῆς Κορινθίας (πρότερον δὲ τῆς Μεγαρίδος), ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν Κρομμυωνίαν (Tzschucke, κρομυ- codd.) ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασί, καὶ τῶν Θησέως ἄθλων ἕνα τοῦτον παραδιδόασι, τὴν τῆς ὑὸς ταύτης ἐξαίρεσιν de forma Κρεμμυών cf. etiam B. 18,23–25; Ps.-Scyl. 55; Plin. nat. 4,23

---

209 3 ἑταίρα RQP^{pc}N: ἑτέρα P^{ac} 6 κραστήνη Q **210** 2 ἰθάκησιος R **211** 1 Κρεμμυών Meineke: Κρεμμύων PN, Κρομμύων RQ 4 ἄθλων <ἕνα> Meineke (mon. Berkel) 5 δὲ ὅτι τοῦ Xylander: δὲ τοῦ R, δὲ καὶ τοῦ QPN Ἐρυμανθίου Pinedo: ἐρύμανθος RQPN δὲ ante κύριον om. N 6 φαῖα R^{pc}PN (cf. St. Byz. 207,7): φαία R^{ac}Q Κρομμυών Meineke: κρομμύων RQPN 7 κρομμυωνία QPN: κρομμυωνιών R

208. Kraserion, Örtlichkeit auf Sizilien.[303] Philistos <erwähnt sie> im achten Buch (FGrHist 556 F 33). Das Ethnikon <lautet> Kraseriner.

209. Krastos, Stadt auf Sizilien,[304] <im Gebiet> der Sikaner. Philistos <erwähnt sie> im dreizehnten Buch der *Sikelika* (FGrHist 556 F 44). Aus dieser <Stadt> stammten der Komödiendichter Epicharm und die Hetäre Lais, wie Neanthes in der Schrift *Über berühmte Männer* (FGrHist 84 F 13) <angibt>. Die Stadt besitzt überaus hübsche Frauen, wie Philemon (fr. 182 Kassel/Austin [PCG VII 312]) <sagt>. Apion (FGrHist 616 F 30) <berichtet> indes, einzig Polemon (fr. 44 Preller) habe Lais als Korintherin bezeichnet.[305] Der Bürger <heisst> Krastiner, und Krastinerin <lautet> das Femininum.

210. Kreme, Stadt in <der Landschaft> Pontos. Phlegon <erwähnt sie> im achten Buch seiner *Chronik* (FGrHist 257 F 15). Das Ethnikon <lautet> Kremesier, wie Ithakesier.

211. Kremmyon, Dorf im Gebiet von Korinth.[306] Eudoxos <erwähnt es> im sechsten Buch seiner *Erdbeschreibung* (fr. 312 Lasserre). Der Bürger <heisst> Kremmyonier <und im Femininum Κρεμμυωνία. „Das Dorf>, wo sich die Sage von der Kremmyonischen Sau abspielte, welche angeblich die Mutter des Kalydonischen Ebers war und <deren Tötung> zu den Heldentaten des Theseus gehöre“ (Str. 8,6,22 [C 380,20]). Favorin (fr. 91 Amato = fr. 88 Barigazzi) hingegen <sagt>, <die Kremmyonische Sau> sei die Mutter des Erymanthischen und des Kalydonischen <Ebers> gewesen. Eigentlich hiess sie Phaia mit Namen.[307] Es gibt ferner Krommyon, eine Stadt in Libyen, mit ο <geschrieben>. Auch Hekataios (FGrHist 1 F 349) <erwähnt sie>.[308] Das Ethnikon <lautet> Krommyonier und <im Femininum> Krommyonierin.

---

[303] Den Ort brachte man mit der Inschrift I.Akrai 2,42 in Verbindung, wo das Ethnikon indes lediglich konjiziert ist (Κρα[σερίνῳ); s. BTCGI 5,456 f., ferner Manni, Geografia della Sicilia antica 161 f.

[304] BTCGI 5,457 f.; Manni, Geografia della Sicilia antica 162.

[305] Stephanos nennt zwei weitere Städte Siziliens, Eukarpia (ε 157) und Hykara (647,1), als Herkunftsort der Lais, die nach Korinth ausgewandert sein soll. Die Zeugnisse zur Hetäre Lais legen es nahe, diese Lais von einer weiteren Hetäre gleichen Namens, die aus Korinth selbst stammte, zu unterscheiden; s. M. Ypsilanti, Lais and her mirror, BICS 49 (2006) 193–213, insb. 199–201.

[306] Zum befestigten Ort, mehrheitlich Κρομ(μ)υών (vgl. Th. 4,42,4; X. HG 4,4,13; Paus. 2,1,3) geschrieben, s. Inventory S. 466, und ausführlich J. Wiseman, The land of the ancient Corinthians. Studies in Mediterranean Archaeology 50 (Göteborg 1978) 17–20.

[307] Die drei Wildschweine, die im alten Griechenland ihr Unwesen trieben (vgl. Paus. 1,27,9), sind in der griechischen Mythologie wohlbekannt: Theseus tötete die Sau Phaia, Meleager den Kalydonischen Eber und Herakles den Erymanthischen Eber; genealogisch miteinander verknüpft sind die drei Tiere offenbar nur bei Favorin; dazu s. Amato, Favorinos d’Arles 3,281 (Anm. 791) und 341 (Anm. 790–793).

[308] Zum ansonsten unbekannten Ort s. Braun, Hecataeus’ knowledge 337.

212 Κρεῦσις· πόλις Βοιωτίας, κειμένη καταντικρὺ τῆς Μεγαρίδος, ὡς Ἡρωδιανός (1,102,26). ἡ γενικὴ Κρεύσιος. τὸ ἐθνικὸν Κρευσιεύς.

213 Κρηνίδες· πόλις Μακεδονίας, ἃς Φίλιππος μετωνόμασε Φιλίπ-
10 πους. τὸ ἐθνικὸν Κρηνῖται.

214 Κρῆσσα· πόλις Παφλαγονίας, ἣν Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζηίλας δὲ εἷλεν ὁ Νικομήδους υἱός. Δημοσθένης (FGrHist 699 F 15 = fr. 10 Powell) γρ*** τὸ ἐθνικὸν Κρησσαῖος.

215 Κρήσιον· πόλις Κύπρου. Θεόπομπος Φιλιππικῶν ιε (FGrHist 115
15 F 116). τὸ ἐθνικὸν Κρησιεύς ὡς Σουνιεύς.

216 Κρηστώνη· πόλις Θρᾴκης. ἔοικε δὲ εἶναι ἡ Κρηστών παρ' Ἡροδότῳ (1,57,1). Λυκόφρων (937) „ὁρκωμοτῆσαι τόν τε Κρηστώνης θεόν". ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ (fr. 309 Maehler). Ῥιανὸς (FGrHist 265 F 35 = fr. 59 Powell) δὲ Κρηστωνίους αὐτούς φησιν. Ἑκαταῖος δὲ Κρηστῶνας αὐτοὺς ἐν Εὐρώπῃ (FGrHist 1 F 153). καὶ 5
20 Κρηστωνικόν κτητικόν.

---

212 X. HG 5,4,16 διὰ Κρεύσιος, sed Paus. 9,32,1 ἐν Κρεύσιδι, ἐπινείῳ τῷ Θεσπιέων, et 9,32,2 ἐκ Κρεύσιδος **213** St. Byz. 666,1 Φίλιπποι· πόλις Μακεδονίας, οἱ πρότερον Κρηνίδες. Ἀρτεμίδωρος ἐν Ἐπιτομῇ τῶν ια (Epit. fr. 9 Stiehle) „καὶ πόλις Φίλιπποι τὸ παλαιὸν Κρηνίδες. τοῖς δὲ Κρηνίταις πολεμουμένοις ὑπὸ Θρᾳκῶν βοηθήσας ὁ Φίλιππος Φιλίππους ὠνόμασεν" Str. 7 fr. 17a,11 οἱ δὲ Φίλιπποι Κρηνῖδες (cod. E Radt, Κρηνίδες Kramer) ἐκαλοῦντο πρότερον, κατοικία μικρά· ηὐξήθη δὲ μετὰ τὴν περὶ Βροῦτον καὶ Κάσσιον ἧτταν; D. S. 16,3,7 ἅμα δὲ τούτοις πραττομένοις Θάσιοι μὲν ᾤκισαν τὰς ὀνομαζομένας Κρηνίδας, ἃς ὕστερον ὁ βασιλεὺς (sc. Φίλιππος) ἀφ' ἑαυτοῦ ὀνομάσας Φιλίππους ἐπλήρωσεν οἰκητόρων **216** Hdt. 1,57,1 Πελασγῶν τῶν ὑπὲρ Τυρσηνῶν Κρηστῶνα (Κρητῶνα v.l., Κρότωνα edd. [e D. H. 1,29,3]) πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἦσαν τοῖσι νῦν Δωριεῦσι καλεομένοισι (οἴκεον δὲ τηνικαῦτα γῆν τὴν νῦν Θεσσαλιῶτιν καλεομένην) populus Crestoniae Κρηστωναῖοι nominatur apud Hdt. 5,3,2; 5,5; 7,124. 127,2 de possessivo cf. Hdt. 8,116,1 γῆς τε τῆς Κρηστωνικῆς; Th. 4,109,4 Κρηστωνικὸν

---

212 1 καταντικρὺ PN: κατὰ ἀντικρὺ RQ 2 ἡ γενικὴ RPN: ἡγεμονικὴ Q **213** 1 Μακεδονίας Holste (cf. St. Byz. 666,1): θράκης Q[pc](alt. m.), σικελίας RQ[ac]PN 2 κρηνῖται R: κρηνίται QPN **214** 2 Ζηίλας Berkel: ζιλίας RQ, ζελίας PN νικομήδους RQ[pc]PN: νικοδήμους Q[ac] 3 γρ cum spat. 6–7 litt. RQ: γρ sine spat. PN, γράφει Ald. κρησσαῖος RPN: κρησαῖος Q **215** 2 κρισιεὺς Q **216** 1 Κρηστώνη Meineke susp. in app. (e Lyc.): Κρηστών RQ, Κρήστων PN Κρηστών Westermann: κρήστων RQPN 2 ὁρκομοτῆσαι R 5 κρηστῶνας RPN: κρηστώνας Q

212. Kreusis, Stadt in Boiotien,[309] gerade gegenüber der Megaris gelegen, wie Herodian (1,102,26) <angibt>. Der Genitiv <zu Kreusis lautet> Κρεύσιος. Das Ethnikon <lautet> Kreusieer.

213. Krenides, Stadt in Makedonien,[310] die Philipp (II.) in Philippoi umbenannt hat. Das Ethnikon <lautet> Kreniten.

214. Kressa, Stadt in Paphlagonien,[311] die Meriones nach <der Zerstörung> Troias gegründet, Zeïlas aber,[312] der Sohn des Nikomedes (I.), erobert hat. Demosthenes (FGrHist 699 F 15 = fr. 10 Powell) schreibt ***. Das Ethnikon <lautet> Kressaier.[313]

215. Kresion, Stadt auf Zypern. Theopomp <erwähnt sie> im fünfzehnten Buch der *Philippika* (FGrHist 115 F 116). Das Ethnikon <lautet> Kresieer, wie Sunieer.

216. Krestone, Stadt in Thrakien.[314] Offenbar ist es <dieselbe Stadt wie> Kreston bei Herodot (1,57,1). Lykophron (937) <sagt>: „Und <er wagte,> beim Gott von Krestone einen Eid zu schwören“. Der Bürger <heisst> Krestonaier bei Pindar (fr. 309 Maehler). Rhianos (FGrHist 265 F 35 = fr. 59 Powell) aber nennt sie Krestonier. Hekataios seinerseits bezeichnet sie in der *Europe* (FGrHist 1 F 153) als Krestonen. Und das Ktetikon <lautet> krestonisches.

---

309 Zum befestigten Hafen, auch Κρέουσα (vgl. Str. 9,2,25 [C 409,17]; Ptol. Geog. 3,15,5 [3,14,5]) genannt, s. Inventory S. 434 f.

310 Inventory Nr. 632, ferner Nr. 637 (Philippoi).

311 Zum nicht weiter belegten Ort s. Cohen, Hell. settlements 1,386; TIB 9,241, sowie, insb. zu Meriones und Zeïlas, A. Trachsel, in: BNJ 699 F 15 ad loc.

312 Zur schwankenden Namensform Ζηίλας/Ζιήλας s. unten ν 57 Anm. 93.

313 Die Hss RQ verzeichnen nach γρ eine Lücke. Sollte es sich um das Kürzel für γράφει handeln (so die Aldina), könnte die Variante Κρησαῖος in Q ein Hinweis darauf sein, dass Demosthenes das Toponym mit einfachem σ geschrieben hat; vgl. ferner St. Byz. β 89 Βῆσ(σ)α. Meineke erwog Abkürzung für das 3. Buch (γ̄) der *Bithyniaka*. Das ist nicht ausgeschlossen, vgl. unten μ 103; doch schreibt Stephanos bei Buchangabe gewöhnlich ἐν, vgl. 71,8; 127,20; 603,13 usw.

314 Zum krestonischen Volk und ihren Wohnsitzen zwischen den Flüssen Strymon und Echeidoros s. Papazoglou, Villes de Macédoine 185–188 (auch zu St. Byz. γ 111 Γρηστωνία). Unsicher bleiben die Form wie auch die in den Hss RQPN gespaltene Akzentuierung des Toponyms, das bei Herodot, der einzigen, jedoch nicht unumstrittenen Belegstelle (s. Similia), auf der letzten Silbe betont ist, während es in RQPN in diesem Zusammenhang als Paroxytonon erscheint. Sowohl die absetzende (δέ) Identifikation mit dem bei Herodot genannten Κρηστών als auch die Einführung des Belegs aus Lykophron (dort auch 499) sprechen dafür, mit Meineke ein Lemma Κρηστώνη anzusetzen; vgl. zudem Sch. Lyc. 937b Κρηστώνη δὲ ἡ Θρᾴκη ἀπὸ πόλεως μιᾶς οὕτω καλουμένης.

384 **217 Κρήτη**· ἡ μεγίστη νῆσος, ἣν Κρεήτην ἔφη Ἀρχίλοχος (fr. 271 West[2]) κατὰ πλεονασμόν. οἱ μέν φασιν ἀπὸ τοῦ Κουρής Κουρήτην καὶ Κρήτην κατὰ συγκοπήν, οἱ δὲ ἀπὸ Κρητὸς τοῦ Διὸς καὶ Ἰδαίας νύμφης παιδός, οἱ δὲ ἀπὸ Κρήτης μιᾶς τῶν Ἑσπερίδων, οἱ δὲ ἀπό τινος γηγενοῦς Κρητός. ἄμεινον δὲ παρὰ τὸ Κρής Κρητός Κρήτη, ὡς Θρᾴκη καὶ Χιτώνη καὶ εὐφρόνη. λέγεται καὶ ποιητικῶς Κρῆται. λέγεται καὶ Κρής Κρητός καὶ Κρῆσσα· καὶ Κρηταῖος καὶ θηλυκῶς καὶ οὐδετέρως· καὶ Κρητεύς καὶ Κρητῆος καὶ Κρητήιος κτητικόν, καὶ θηλυκὸν Κρητηιάς. καὶ Κρηταιεύς καὶ Κρήσιος ἀπὸ τοῦ Κρής, καὶ Κρησιάς θηλυκὸν καὶ Κρησία καὶ Κρήσιον. καὶ ἀπὸ τῆς Κρητός γενικῆς Κρῆτις, καὶ τροπῇ τοῦ τ εἰς σ Κρησίς. καὶ κτητικὸν Κρητικός. καλεῖται δὲ ἡ νῆσος καὶ Ἀερία καὶ Χθονία καὶ Ἰδαία.

218 Κρητηνία· τόπος Ῥόδου, ἐν ᾧ ᾤκουν οἱ περὶ Ἀλθαιμένην, ὃς χρησθεὶς ὅτι τὸν πατέρα ἀποκτενεῖ ἔφυγε, καὶ νυκτὶ πλοίῳ συναντᾷ ἐν Ῥόδῳ, καὶ ὡς λῃστὰς νομίσας ἀναιρεῖ τὸν πατέρα. εἰσὶ δὲ ὑπὲρ αὐτοῦ τὰ Ἀταβύρια ὄρη, ἀφ᾽ ὧν Ζεὺς Ἀταβύριος.

---

217 Eust. D. P. 498 (p. 310,25) Κρήτη δὲ λέγεται, ὡς οἱ παλαιοί φασιν, ἀπὸ τῶν ἐκεῖ οἰκησάντων Κουρήτων, οἱονεὶ Κουρήτη, καὶ ἐν συγκοπῇ Κρήτη. Οἱ δὲ ἀπὸ Κρητός τινος αὐτὴν Κρήτην ὠνόμασαν υἱοῦ τοῦ Διός. Ἀρριανὸς (Bith. fr. 57 Roos) δέ φησι· „Κρής, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίῳ, ὅτε Κρόνος ἐμάστευεν ἐθέλων ἀφανίσαι αὐτόν". Ἀρχίας δέ τις, ὡς λέγεται, Κρεήτην αὐτὴν ὠνόμασε, πλεονασμῷ τοῦ ε; Plin. nat. 4,58 *Dosiades eam* (*sc. Cretam*) *a Crete nympha, Hesperidis filia, Anaximander a rege Curetum, Philistides Mallotes et Crates primum Aëriam dictam, deinde postea Curetim; et Macaron nonnulli a temperie caeli appellatam existimavere* de forma plurali Κρῆται cf. Od. 14,205 et 16,62; Eust. ad β 287 (I 127,24) de diversis insulae appellationibus cf. etiam St. Byz. α 70 Ἀερία· … . ἔστι καὶ ἄλλη Κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος Ἀερία καὶ Ἰδαία καὶ Δολίχη διὰ τὸ μῆκος, ac St. Byz. 614,6 ἡ Κρήτη Τελχινία ἐλέγετο **218** Apollod. 3,2,1 Κατρεὺς μὲν οὖν ἀπεκρύβετο τοὺς χρησμούς, Ἀλθαιμένης δὲ ἀκούσας, καὶ δείσας μὴ φονεὺς γένηται τοῦ πατρός, ἄρας ἐκ Κρήτης μετὰ τῆς ἀδελφῆς Ἀπημοσύνης προσίσχει τινὶ τόπῳ τῆς Ῥόδου, καὶ κατασχὼν Κρητινίαν (R, κρατινίαν A) ὠνόμασεν. ἀναβὰς δὲ ἐπὶ τὸ Ἀταβύριον καλούμενον ὄρος ἐθεάσατο τὰς πέριξ νήσους, κατιδὼν δὲ καὶ Κρήτην, καὶ τῶν πατρῴων ὑπομνησθεὶς θεῶν, ἱδρύετο βωμὸν Ἀταβυρίου Διός. … (3,2,2) Κατρεὺς δὲ ὕστερον γήρᾳ κατεχόμενος ἐπόθει τὴν βασιλείαν Ἀλθαιμένει τῷ παιδὶ παραδοῦναι, καὶ διὰ τοῦτο ἦλθεν εἰς Ῥόδον. ἀποβὰς δὲ τῆς νεὼς σὺν τοῖς Κρησὶ κατά τινα τῆς νήσου τόπον ἔρημον ἠλαύνετο ὑπὸ τῶν βουκόλων, λῃστὰς ἐμβεβληκέναι δοκούντων καὶ μὴ δυναμένων ἀκοῦσαι λέγοντος αὐτοῦ τὴν ἀλήθειαν διὰ τὴν κραυγὴν τῶν κυνῶν, ἀλλὰ βαλλόντων κἀκείνων, παραγενόμενος Ἀλθαιμένης ἀκοντίσας ἀπέκτεινεν ἀγνοῶν Κατρέα; cf. etiam D. S. 5,59

---

217 2 γὰρ post οἱ μέν add. R κουρής R: κόρης QPN κουρήτην RQ: κορήτην PN 3 κρήτην κατὰ συγκοπὴν QPN: κατὰ συγκοπήν κρήτη R καὶ ante Ἰδαίας om. RQP[ac] 6 εὐφρόμη R ποιητικῶς QPN: κτητικὸν R 7 Κρῆσσα Meineke: κρήσσα Q, κρήσση R[pc](ex -ήση)PN 8 θηλυκῶς Q 9 κρῆς P[ac] 10 κρῆτις QPN: κρήτης R 11 Κρησίς Meineke (cf. Sch. Nic. Alex. 491b): κρῆσις RQPN τὸ ante κτητικὸν add. N (sed cf. St. Byz. 21,16; 66,16; 144,7 etc.) **218** 1 Κρητηνία R[ac]QPN: Κρητινία R[pc] Apollod. Ἀλθαιμένην Holste: ἀλθημένην RQPN 3 ἀναρεῖ R 4 ἀταβύρια … ἀταβύριος QPN: ἀταβή- bis R Ζεὺς om. N

217. Krete, die grösste Insel <Griechenlands>,[315] die Archilochos (fr. 271 West^2) unter Hinzufügung <eines ε> Kreëte nannte. Die einen sagen, <man habe die Insel> nach dem Kureten Kurete und <dann> verkürzt Krete <genannt>; andere <sagen, die Insel sei benannt> nach Kres, dem Sohn des Zeus und der Nymphe Idaia, wiederum andere nach Krete, einer der Hesperiden, und weitere schliesslich nach einem gewissen erdgeborenen Kres. Besser ist es jedoch, in Ableitung vom <Nominativ> Κρής <den Genitiv> Κρητός <und hierzu> Κρήτη <anzunehmen>, wie Θρᾴκη (Thrakien, vom Nom. Θρᾷξ, Gen. Θρᾳκός), Chitone (Beiname der Artemis, vom Nom. χιτών, Gen. χιτῶνος) und Euphrone (Beiname der Nacht, vom Nom. εὔφρων, Gen. εὔφρονος) <abgeleitet werden>. <Die Insel> heisst in der Dichtung auch Kretai. <Der Bewohner> heisst Kreter (Κρής) <mit Genitiv> Κρητός und <im Femininum> Kreterin (Κρῆσσα). <Man sagt> auch Kretaier und <entsprechend> im Femininum (d.h. Κρηταῖα) und im Neutrum (d.h. Κρηταῖον). <Man verwendet> auch Kreteer (Κρητεύς) und Kretêer (Κρητῆος) und kreteischer (Κρητήιος) als Ktetikon. Und im Femininum <sagt man> Kreteïadin. <Das Ethnikon lautet> auch Kretaieer und Kresier in Ableitung vom <Nominativ> Kres und im Femininum Kresiadin sowie Kresierin und <im Neutrum> Kresisches. Und vom Genitiv Κρητός <stammt das Femininum> Κρῆτις (Kretidin), und <daraus ergibt sich> mit Wandel des τ zu σ Κρησίς (Kresidin). Und als Ktetikon <begegnet> Κρητικός (kretischer).[316] Die Insel wird aber auch Aëria, Chthonia und Idaia genannt.

218. Kretenia, Ort auf Rhodos,[317] wo Althaimenes und seine Gefährten wohnten. Dieser floh <aus Kreta>, nachdem er das Orakel bekommen hatte, er werde seinen Vater umbringen; und in der Nacht traf er bei <der Insel> Rhodos mit einem Schiff zusammen und tötete, weil er <die Besatzung> für Seeräuber hielt, <beim Angriff> seinen Vater. Oberhalb des Ortes befinden sich die Atabyrier Berge, nach denen Zeus Atabyrios <mit Beinamen heisst>.

---

315 Zur Insel Kreta und ihrer Geschichte s. DNP 6,828–834 mit weiterführender Literatur.

316 Von den in grosser Zahl genannten Ethnika sind am stärksten verbreitet Κρής und Κρηταιεύς; s. Inventory S. 1144. Κρῆσσα sowie adjektivisch Κρηταῖος und Κρήσιος sind besonders in der Dichtung belegt (vgl. z.B. S. Aj. 1295; Call. Jov. 34; E. Hipp. 757). Die übrigen Ethnika sind offenbar nicht weiter belegt; von den beiden Ktetika Κρητήιος und Κρητικός begegnet nur letzteres.

317 Der Ortsname ist lediglich durch Apollodor (3,2,1) in den Varianten Κρητινία (R) und Κρατινία (A) bekannt; davon weicht die hiesige Paradosis Κρητηνία ab. Mit grösster Wahrscheinlichkeit handelt es sich bei dem übergeschriebenen ι in R^{pc} um eine frühe Korrektur aus Apollodor.

219 Κριθώτη· πόλις Ἑλλησπόντου, π̅ σταδίους ἀπέχουσα τῆς Καρδίας. τὸ ἐθνικὸν Κριθώσιος ὡς Περκώσιος. ἔστι καὶ ἄκρα Ἀκαρνανίας.

385 **220 Κρίμισα**· πόλις Ἰταλίας πλησίον Κρότωνος καὶ Θουρίου. Λυκόφρων (913). ἀπὸ Κριμίσης νύμφης. τὸ ἐθνικὸν Κριμισαῖος καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ ποταμός.

---

219 Harp. κ 82 Κριθώτην· Δημοσθένης ἐν τῷ Κατ' Ἀριστοκράτους (D. 23,158). Κριθώτη μία πόλις τῶν ἐν Χερρονήσῳ, καθά φησιν Ἑλλάνικος ἐν α̅ Τρωϊκῶν (FGrHist 4 F 27 = fr. 27 Fowler). Ἔφορος δ' ἐν τῇ δ̅ (FGrHist 70 F 40) φησὶν αὐτὴν κατοικισθῆναι ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομένων; breviter Phot. κ 1096, Suid. κ 2417 de accentu cf. St. Byz. θ 58 σεσημείωται τὸ Περκώσιος καὶ Κριθώσιος ἀπὸ τοῦ Περκώτη καὶ Κριθώτη; Ps.-Arc. 131,18 Τὰ εἰς τη ὑπερδισύλλαβα τῷ ω παραληγόμενα βαρύνεται· Κριθώτη Περκώτη Γεφυρώτη de Acarnaniae promunturio cf. Str. 10,2,21 (C 459,22) εἶτα ἄκρα Κριθωτὴ καὶ Ἐχινάδες … (καὶ ἡ Κριθωτὴ δ' ὁμώνυμος πολίχνῃ τῶν ἐν τῇ Θρᾳκίᾳ Χερρονήσῳ)
220 Lyc. 911–913 τὸν Αἰσάρου τε ῥεῖθρα καὶ βραχύπτολις | Οἰνωτρίας γῆς κεγχρίνῃ βεβρωμένον | Κρίμισα (v.l. Κρίμισσα) φιτροῦ δέξεται μιαίφονον cum Sch. ad loc. Κρίμισσα δέ· πόλις μικρὰ ἐν Ἰταλίᾳ, ἐν ᾗ Φιλοκτήτης μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου ᾤκησεν Str. 6,1,3 (C 254,9) Φιλοκτήτου δ' ἐστὶ καὶ ἡ παλαιὰ Κρίμισσα (v.l. Κρίμισα) περὶ τοὺς αὐτοὺς τόπους. Ἀπολλόδωρος δ' ἐν τοῖς Περὶ νεῶν (FGrHist 244 F 167) τοῦ Φιλοκτήτου μνησθεὶς λέγειν τινάς φησιν ὡς εἰς τὴν Κροτωνιᾶτιν ἀφικόμενος Κρίμισσαν (v.l. Κρίμισαν) ἄκραν οἰκίσαι

---

219 1 Κριθώτη Holste (cf. St. Byz. θ 58): Κριθωτή RQPN 2 κρηθώσιος R **220** 2 κριμίσης QPN: -μήσης R

219. Krithote, Stadt am Hellespont,[318] achtzig Stadien von Kardia entfernt. Das Ethnikon <lautet> Krithosier, wie Perkosier. Es gibt auch ein Kap in Akarnanien <namens Krithote>.

220. Krimisa, Stadt Italiens,[319] nahe bei <den Städten> Kroton und Thurion <gelegen>. Lykophron (913) <erwähnt sie>. <Benannt ist sie> nach der Nymphe Krimisa. Das Ethnikon <lautet> Krimisaier und <entsprechend> im Femininum (d. h. Κριμισαῖα) sowie im Neutrum (d. h. Κριμισαῖον). Ferner <gibt es> einen Fluss <namens Krimisos>.

---

318 Zum Ort, auch mit Betonung auf der letzten Silbe belegt (vgl. Str. 7 fr. 21a,27; 10,2,21, ferner Ps.-Scyl. 67,5, D. 23,158), s. Inventory Nr. 667; TIB 12,476.

319 Inventory S. 256; BTCGI 5,460–462 (auch zum Fluss).

221 Κρῖσα· πόλις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 115a).
5 ἀπὸ Κρίσου Φώκου υἱοῦ. τὸ ἐθνικὸν Κρισαῖος καὶ Κρισαῖον πεδίον. εἰσὶ καὶ Κρῖσαι ἄλλαι· Τρωική. ἔστι καὶ Αἰολίδος Κρῖσα. τινὲς δὲ <τὴν> αὐτὴν τῇ Κίρρᾳ φασί. λέγεται τὸ θηλυκὸν Κρισηιάς, ὡς ἀπὸ τοῦ Κρισεύς. 5

222 Κριώα· δῆμος τῆς Ἀντιοχίδος <φυλῆς>. ὁ δημότης Κριωεύς. τὰ
10 τοπικὰ Κριῶθεν κατὰ συγκοπὴν καὶ Κριῶζε καὶ Κριῶσι.

223 Κρόβυζοι· ἔθνος πρὸς νότου ἀνέμου τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 170). ἐξ ὧν Κροβυζική ἡ γῆ.

---

221 Eust. ad B 526 (I 418,22) καὶ τὴν Κρίσσαν, ζαθέην γὰρ αὐτὴν λέγει, ἐπεὶ Δημητρεῖον, φασί, περὶ αὐτὴν ἐπιφανές, ἢ ὡς ἀνακειμένην Ἀπόλλωνι, ἐξ ἧς καὶ πεδίον Κρισσαῖον καὶ κόλπος ἐκεῖ Κρισσαῖος, ὁ δὲ αὐτὸς καὶ Κιρραῖος διὰ τὸ καὶ τὴν Κρίσσαν διπλάζουσαν κατὰ τοὺς νεωτέρους τὸ σ Κίρραν λέγεσθαι· ὡς γὰρ πυρσός πυρρός, τροπῇ τοῦ ἑνὸς σ εἰς ρ, καὶ Τυρσηνός Τυρρηνός, οὕτω καὶ ὁ Κρισσαῖος κόλπος Κιρραῖος· ἔστι δέ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, κόλπος κατὰ τοὺς παλαιοὺς κυρίως θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη. οὐκ ἠγνόηται δὲ οὐδ', ὅτι τινὲς τὴν Κρίσσαν, ὥσπερ καὶ τὴν πρὸ μικροῦ ῥηθεῖσαν Νῖσαν, δι' ἑνὸς σ γράφουσι, περισπῶντες τὴν ἄρχουσαν. ὁ δὲ Γεωγράφος (Str. 9,3,3 [C 418,20]) λέγει, ὅτι Κρίσσα τῆς Φωκίδος, ἐπ' αὐτῆς ἱδρυμένη τῆς θαλάσσης, καὶ Κίρρα καὶ Ἀντίκιρρα, ὥστε κατ' αὐτὸν ἑτέρα ἡ Κρίσσα καὶ ἑτέρα ἡ Κίρρα Eust. ad B 520 (I 420,15) Κρίσσα δὲ πεδίον καὶ πόλις ἐν Λοκροῖς ἢ ἐν Δελφοῖς ἀπὸ Κρίσσου τινὸς τυράννου ἤ, ὡς Ἑκαταῖός (FGrHist 1 F 115b) φησι, παιδὸς Φώκου; Paus. 2,29,4 Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον; cf. etiam Sch. Lyc. (Tzetzes) 1070 campus Crissaeus saepe commemoratur, e.g. Hdt. 8,32,2; Isoc. 14,31 de relatione, quae est inter Crisam et Cirrham cf. etiam Paus. 10,37,5 καὶ ἀπὸ τῆς Κίρρας τὸ ὄνομα τὸ ἐφ' ἡμῶν τεθῆναι τῷ χωρίῳ φασίν. Ὅμηρος μέντοι Κρῖσαν ἔν τε Ἰλιάδι (B 520) ὁμοίως καὶ ὕμνῳ τῷ ἐς Ἀπόλλωνα (269, 282, etc.) ὀνόματι τῷ ἐξ ἀρχῆς καλεῖ τὴν πόλιν; EM 515,18 Κίρρα, Κρίσα· πόλις τῆς Φωκίδος. ἀπὸ τούτου λέγουσι Κρισαῖον κόλπον. καὶ Ὅμηρος (B 520), „Κρῖσάν τε ζαθέην". ὑπερθέσει γίνεται Κίρσα, ὡς χερσόνησος, χερρόνησος. Λεωκρίνης δὲ ἡγεῖται δύο εἶναι πόλεις, ἄλλην τὴν Κρῖσαν, καὶ ἄλλην τὴν Κίρραν. εὐθύνεται δὲ ὑπὸ πολλῶν· οὔτε γὰρ τῶν γεωγράφων εἶπέ τις πόλεις δύο διαφόρους, ἀλλ' οὐδὲ τῶν περιηγητῶν, μόνος δὲ αὐτός· καὶ τοῦτο δι' ἄγνοιαν καὶ ἰδιωτισμὸν τοῦ πάθους· ὅθεν ἱστορίαν δίδωσι διεψευσμένην. ἡ αὐτὴ οὖν Κρῖσα καὶ Κίρρα **222** Harp. κ 83 Κριωεύς· Δημοσθένης ἐν τῷ Πρὸς Φαίνιππον (D. 42,11). δῆμός ἐστι τῆς Ἀντιοχίδος Κριώα, ὥς φησι Διόδωρος ἐν τῷ Περὶ τῶν δήμων (FGrHist 372 F 32); breviter Phot. κ 1098, Suid. κ 2439 Ar. Av. 645 Εὐελπίδης Κριῶθεν; Theognost. An. Ox. 2,157,10 τὸ δὲ Κριῶθεν ἀπὸ τοῦ Κριώαθεν γέγονεν, συγκοπέντος τοῦ α· ἔστιν δὲ ὄνομα δήμου Ἀττικοῦ **223** Hdt. 4,49,1 διὰ δὲ Θρηίκης καὶ Θρηίκων τῶν Κροβύζων ῥέοντες Ἄθρυς καὶ Νοίας καὶ Ἀρτάνης ἐκδιδοῦσι ἐς τὸν Ἴστρον Str. 7,5,12 (C 318,17) ὑπεροικοῦσι δ' οὗτοί τε καὶ Κρόβυζοι καὶ οἱ Τρωγλοδύται λεγόμενοι τῶν περὶ Κάλλατιν καὶ Τομέα καὶ Ἴστρον τόπων

---

221 1 et infra lin. 3 Κρῖσα Meineke: Κρίσα RQPN 2 Φώκου υἱοῦ Holste (cl. Eust.): φωκίου RQPN κρισαίον R 3 κρίσαι R Τρωική Meineke: τρωικαὶ RQPN τὴν add. Korais 4 θηλυκὸν Meineke: ἐθνικὸν RQPN κρισηϊὰς Q: κρησηιὰς RPN **222** 1 Κριώα R: Κριῶνα QPN ἀντιοχίδος PN: ἀντιοχείας RQ φυλῆς add. Berkel κριωεὺς QPN: κριοεὺς R 2 κατὰ συγκοπὴν om. PN **223** 2 ἐξ ὧν R: ἐξ οὗ QPN

221. Krisa, Stadt in der <Landschaft> Phokis.[320] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 115a). <Benannt ist sie> nach Krisos, dem Sohn des Phokos. Das Ethnikon <lautet> Krisaier, und <man sagt> ‚Krisaier Ebene'. Es gibt noch weitere <Ortschaften namens> Krisa; eine im Gebiet von Troia. Zudem gibt es ein Krisa in der Aiolis. Einige sagen jedoch, <das phokische Krisa> sei dieselbe <Stadt> wie Kirrha. Das Femininum lautet Kriseïadin, als sei es von einem Ethnikon Kriseer <abgeleitet>.

222. Krioa, Demos der Phyle Antiochis.[321] Der Demot <heisst> Krioëer. Die Topika <lauten> unter Wegfall <des α> Κριῶθεν (‚aus Krioa'), Κριῶζε (‚nach Krioa') und Κριῶσι (‚in Krioa').

223. Krobyzer, Volk südlich des Istros (Donau).[322] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 170). Nach ihnen <heisst> das Land krobyzisches.

---

[320] Inventory Nr. 183. Neben der homerischen Form Κρῖσα sind auch die in den Hss RQPN überlieferte Schreibweise Κρίσα (vgl. Theognost. An. Ox. 2,102,6) und ferner Κρίσσα (vgl. Sch. Lyc. 1070; Eust.) und entsprechend Κρισσαῖος (vgl. Eust.) belegt. Zur Bildung eines femininen Κρισηιάς aus Κρισεύς, die beide offenbar nicht weiter belegt sind, vgl. St. Byz. δ 151,15 ὁ πολίτης Δωτιεύς. … καὶ Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς; κ 217 καὶ Κρητεύς καὶ Κρητῆος καὶ Κρητήιος κτητικόν, καὶ θηλυκὸν Κρητηιάς.

[321] DNP 6,849.

[322] Zum Volk und seinem Stammesgebiet s. C.M. Danov, Altthrakien (Berlin/New York 1976) 130 f., 287 f.; DNP 6,857 mit weiterführender Literatur.

224 Κροκέαι· πόλις Λακωνική, τῶν ρ̄ πόλεων μία. λέγεται καὶ ἑνικῶς. οἱ οἰκοῦντες Κροκεᾶται. λέγεται τοπικῶς Κροκέηθεν.

16 **225 Κροκοδείλων πόλις**· πόλις ἐν τῇ Μοίριδος {τῇ} λίμνῃ ἐν Αἰγύπτῳ. Ἡρόδοτος β̄ (2,148,1). ἐκλήθη δὲ οὕτως· ὁ Μηνᾶς βασιλεὺς 386 ὑπὸ τῶν ἰδίων κυνῶν διωκόμενος μεθ' ἵππου φεύγει· καταπεσόντος δὲ τοῦ ἵππου ἐν τῇ Μοίριδος λίμνῃ, ὑπὸ κροκοδείλου ληφθῆναι καὶ ἐξενεχθῆναι εἰς τὸ πέραν, καὶ οὕτως ὀνομασθῆναι καὶ πόλιν κτίσαι καὶ καθ- 5 5 ιερώσασθαι τοὺς κροκοδείλους. ἀπεῖπέ τε μηδένα ἀποκτείνειν τὸ ζῷον ἡγεῖσθαί τε ὥσπερ θεόν. ὁ πολίτης Κροκοδειλοπολίτης.

226 Κροκύλειον· νῆσος Ἰθάκης. Θουκυδίδης γ̄ (3,96,2). τὸ ἐθνικὸν Κροκυλεύς. Ἡρακλέων δὲ ὁ Γλαύκου (fr. 20 Berndt) τετραμερῆ φησι τὴν Ἰθάκην, ἧς τὸ μὲν πρῶτον ἐπὶ μεσημβρίαν καὶ θάλατταν καὶ τὸ δεύτε- 10 ρον Νήιον καὶ τὸ τρίτον Κροκύλειον, τὸ τέταρτον Αἰγίλιπα.

---

224 Paus. 3,21,4 Ἐπὶ θάλασσαν δὲ ἐς Γύθιον καταβαίνοντί ἐστι Λακεδαιμονίοις ἡ κώμη Κροκέαι (Musurus, κροκεαῖς codd.) … . θεῶν δὲ αὐτόθι πρὸ μὲν τῆς κώμης Διὸς Κροκεάτα λίθου πεποιημένον ἄγαλμα ἕστηκε, … . μετὰ δὲ Κροκέας ἀποτραπεῖσιν ἐς δεξιὰν ἀπὸ τῆς ἐς Γύθιον εὐθείας ἐπὶ πόλισμα ἥξεις Αἰγίας; Paus. 2,3,5 τοῦτο δὲ Εὐρυκλῆς ἐποίησεν ἀνὴρ Σπαρτιάτης λίθοις κοσμήσας καὶ ἄλλοις καὶ ὃν ἐν Κροκέαις (Rocha-Pereira, κρόκαις codd.) χώρας τῆς Λακωνικῆς ὀρύσσουσιν **225** Hdt. 2,148,1 καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ, δόξαν δέ σφι ἐποιήσαντο λαβύρινθον, ὀλίγον ὑπὲρ τῆς λίμνης τῆς Μοίριος κατὰ Κροκοδείλων καλεομένην πόλιν μάλιστά κῃ κείμενον D. S. 1,89,1 Λείπεται δ' ἡμῖν εἰπεῖν περὶ τῆς τῶν κροκοδείλων ἀποθεώσεως, … . (89,3) φασὶ γάρ τινες τῶν ἀρχαίων τινὰ βασιλέων, τὸν προσαγορευόμενον Μηνᾶν, διωκόμενον ὑπὸ τῶν ἰδίων κυνῶν καταφυγεῖν εἰς τὴν Μοίριδος καλουμένην λίμνην, ἔπειθ' ὑπὸ κροκοδείλου παραδόξως ἀναληφθέντα εἰς τὸ πέραν ἀπενεχθῆναι. τῆς δὲ σωτηρίας χάριν ἀποδιδόναι βουλόμενον τῷ ζῴῳ πόλιν κτίσαι πλησίον ὀνομάσαντα Κροκοδείλων· καταδεῖξαι δὲ καὶ τοῖς ἐγχωρίοις ὡς θεοὺς τιμᾶν ταῦτα τὰ ζῷα καὶ τὴν λίμνην αὐτοῖς εἰς τροφὴν ἀναθεῖναι· ἐνταῦθα δὲ καὶ τὸν τάφον ἑαυτῷ κατασκευάσαι πυραμίδα τετράπλευρον ἐπιστήσαντα, καὶ τὸν θαυμαζόμενον παρὰ πολλοῖς λαβύρινθον οἰκοδομῆσαι; Eus. PE 2,1,44 φασὶ δέ τινα τῶν παρ' αὐτοῖς βασιλέων διωκόμενον ὑπὸ τῶν ἰδίων κυνῶν καταφυγεῖν εἰς τὴν λίμνην, ἔπειτα ὑπὸ κροκοδείλου παραδόξως ἀναληφθέντα εἰς τὸ πέραν ἀπενεχθῆναι **226** Th. 3,96,2 καὶ αἱρεῖ (sc. Δημοσθένης) τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ Κροκύλειον καὶ τῇ τρίτῃ Τείχιον Eust. ad B 631–637 (I 475,7), imprimis (I 476,11) Τὰ Κροκύλεια δὲ καὶ ἑνικῶς εὕρηται τὸ Κροκύλειον. μέμνηται δὲ τῆς νήσου ταύτης καὶ Θουκυδίδης (3,96,2). ἐθνικὸν αὐτῆς Κροκυλεύς. ὁ δὲ τὰ Ἐθνικὰ ἐπελθὼν τετραμερῆ τὴν Ἰθάκην εἰπών φησιν· „ἧς τὸ μὲν πρῶτον ἐπὶ μεσημβρίαν καὶ θάλασσαν, τὸ δεύτερον Νήϊον, τὸ τρίτον Κροκύλεια" καὶ ἑξῆς· ὥστε κατὰ τοῦτον τὸν λόγον οὐ νῆσος μόνον, ἀλλὰ καὶ μέρος Ἰθάκης τὸ Κροκύλειον cf. etiam Str. 10,2,8 (C 452,7)

---

224 1 Κροκέαι Holste (cf. Paus.): Κροκέα RQPN καὶ Berkel: οὖν RQPN 2 δὲ post λέγεται add. PN κροκέηθεν QPN: -εῆθεν R **225** 1 et hic et lin. 4 Μοίριδος Meineke (mon. Anonymo in Ald. marg.; cf. St. Byz. α 472): μοιρίδι R^pc^(ex μορρ-)QPN τῇ secl. Holste μιᾶς post λίμνῃ add. R, lac. ca. 5 litt. indic. QPN 2 Μηνᾶς βασιλεὺς Meineke (mon. Holste et Berkel, cl. D. S. 1,89,3): μαν cum spat. 4–5 litt. RQPN 3 τῶν om. R 4 ἐξενεχθῆναι QPN: ἐνεχθῆναι R 5 ὀνομασθῆναι N: ὠν- RQP 6 μηθένα ἀποκτένειν Q 7 ὥσπερ R: ὡς QPN **226** 1 Κροκύλειον Xylander (cf. Eust.): Κροκύλιον RQPN 2 γλαύκων P^ac^ φησι RN: φασι QP 3 ἰθακήν R post θάλατταν lac. indic. Palmerius (Graeciae antiquae descriptio [1678] 506), qui Νήριτον suppl. 4 νήιον RQ^ac^PN: νηίον Q^pc^ καὶ ante τὸ τρίτον om. R κροκύλειον QPN: -λιον R Αἰγίλιπα Holste (ex Il. 2,633): αἰγιρῆα RQPN

224. Krokeai, lakonische Stadt,[323] eine von den hundert Städten. <Ihr Name> wird auch im Singular (Κροκέα) gebraucht. Die Einwohner <heissen> Krokeaten. Man sagt als Topikon ‚aus Krokeai' (Κροκέηθεν).

225. Krokodeilon Polis (Stadt der Krokodile), Stadt am Moirissee in Ägypten.[324] Herodot <erwähnt sie> im zweiten Buch (2,148,1). Sie hat ihren Namen aus folgendem Grund erhalten: Der König Menas[325] floh, als er von seinen eigenen Hunden verfolgt wurde, zu Pferd; nach dem Sturz des Pferdes in den Moirissee sei er von einem Krokodil <auf den Rücken> genommen und ans jenseitige Ufer gebracht worden. Und deswegen habe er <den Ort> so genannt und eine Stadt gegründet und die Krokodile zu heiligen Tieren erklärt. Und er verbot allen, diese Tiere zu töten, und befahl, sie als Gottheiten zu betrachten. Der Bürger <heisst> Krokodeilopolit.

226. Krokyleion, Eiland bei <der Insel> Ithaka. Thukydides <erwähnt einen Ort dieses Namens> im dritten Buch (3,96,2). Das Ethnikon <lautet> Krokyleer. Herakleon, der Sohn des Glaukos (fr. 20 Berndt), sagt, vierteilig sei Ithaka, deren ersten Teil <Neriton> nach Süden und zum Meer hin, deren zweiten Teil <der Berg> Neïon, deren dritten Teil Krokyleion und deren vierten Teil Aigilips <bilde>.[326]

---

323 Inventory S. 575. Pausanias ist der einzige Autor, der das Toponym (im Plural) sowie das Ethnikon (als Epiklese des Zeus) überliefert; er dürfte Stephanos als Quelle gedient haben. Ein Ausfall der entsprechenden Zitate in der Epitome ist wohl der Grund für den inkohärenten Gedankengang, Κροκέα· … λέγεται οὖν ἑνικῶς (RQPN), … λέγεται δὲ (PN) τοπικῶς Κροκέηθεν (QPN), den Holste (Κροκέαι) und Berkel (καὶ) unter Annahme einer ursprünglichen Diskussion von Singular- und Pluralform ins Lot gebracht haben. Für ein ähnliches Beispiel (Singular/Plural des Toponyms mit gleichlautendem Ethnikon) vgl. St. Byz. θ 78.

324 Calderini/Daris, Dizionario Suppl. 5,19.

325 Zu Menas und weiteren Namen für den Pharao Amenemhet III s. J. Vergote, Le roi Moiris-Marès, ZÄS 87 (1962) 66–76.

326 Ausgangspunkt der Notiz über die angebliche Vierteilung Ithakas sind die Homerverse Il. 2,631–633 Αὐτὰρ Ὀδυσσεὺς ἦγε Κεφαλλῆνας μεγαθύμους, | οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον, | καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν. Sie zeigen, dass der Herrschaftsbereich des Odysseus über Ithaka hinausreichte und auch Neritos, Krokyleia sowie Aigilips umfasste. Die Namensformen dieser Örtlichkeiten und ihre Identifikation bzw. Lokalisierung waren Gegenstand der Homerexegese, und diese Diskussion hat wie hier auch sonst in den *Ethnika* ihre Spuren hinterlassen, vgl. ν 45 Νήρικος· πόλις Ἀκαρνανίας (mit **Anm. 69**); δ 65 τόπος ἐν Ἰθάκῃ, ὃς καὶ Κροκύλειον; α 103 Αἰγίλιψ· πλησίον Κροκυλείων Ἠπείρου. In seinem Ilias-Kommentar zur Stelle zitiert Eustathios namentlich aus dem hiesigen Artikel; dass auch dort Νήριτον fehlt, bestätigt die Überlieferung in der Epitome. Ob der wahrscheinliche Textausfall (<Νήριτον> Palmerius) durch die schwankende Namensorthographie verursacht ist, lässt sich nicht entscheiden. Zu Herakleons Kommentar zu Il. 2,631–635 s. Visser, Homers Katalog der Schiffe 592–594. Zum aitolischen Krokyleion (Th. 3,96,2) s. Inventory S. 381.

227 Κρομύουσα· νῆσος Ἰβηρίας. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 51). τὸ ἐθνικὸν Κρομυούσιος.

228 Κρομμυών· πόλις πλησίον Ἀσκάλωνος. Φιλήμων ἐν Ἐφήβῳ (fr. 29 Kassel/Austin [PCG VII 243]). ὁ πολίτης Κρομμυώνιος.

229 Κρόσσα· πόλις πρὸς τῷ Πόντῳ. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 213). τὸ ἐθνικὸν Κροσσαῖος <καὶ> θηλυκῶς καὶ οὐδετέρως.

230 Κρόταλλα· πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 85). τὸ ἐθνικὸν Κροταλλαῖος, ὡς Ἄβολλα Ἀβολλαῖος.

231 Κρότων· πόλις Ἰταλίας εὔσημος παρὰ τὸ Ῥήγιον. βαρύνεται δὲ ὅτε <τὴν πόλιν ἢ> τὸ ὄρος σημαίνει, ὅθεν ὁ Αἴσαρος ῥεῖ ποταμός, τὸ μέντοι ἐπὶ τοῦ φθαρτικοῦ τῶν κυνῶν ὀξύνεται. ἔστι καὶ ἑτέρα πόλις, Τυρρηνίας μητρόπολις. καὶ γ̅ Ἰταλίας. οἱ πολῖται Κροτωνιᾶται καὶ θηλυκῶς Κροτωνιᾶτις, καὶ Κροτώνιος καὶ Κροτωνία. καὶ Κροτωνιᾶτις καὶ Κροτωνιάς.

---

228 Eust. ad Ψ 299 (IV 734,3) ἐκ δὲ κρομύων καὶ σικύων Σικυών καὶ Κρομυών τὰ τοπικά, ὧν παράγωγα ὁ Σικυώνιος καὶ ὁ Κρομυώνιος, ὧν θηλυκὰ ἡ Σικυωνία Αἴθη καὶ ἡ Κρομυωνία σῦς **231** Str. 6,1,12 (C 262,6) Πρώτη δ' ἐστὶ Κρότων ἐν ἑκατὸν καὶ πεντήκοντα σταδίοις ἀπὸ τοῦ Λακινίου καὶ ποταμὸς Αἴσαρος; Ps.-Scymn. 323–325 ἡ πρὶν εὐτυχεστάτη | εὐανδροτάτη πόλις τε γενομένη Κρότων, | Μύσκελος Ἀχαιὸς ἦν ἀποικίσαι δοκεῖ de accentu cf. St. Byz. α 144 ὀξύτονον τὸ Αἰσών. τὰ γὰρ εἰς ων δισύλλαβα ἐπὶ πόλεων ὀξύνεται, εἰ μὴ διαστολὴν ἔχοι σημαινομένου, ὡς τὸ Κρότων βαρύνεται (ὀξυνόμενον γὰρ δηλοῖ ζωύφιον); St. Byz. β 106 cf. etiam Theognost. An. Ox. 2,39,3 κροτὼν κροτῶνος εἶδος ζώου φθαρτικοῦ; sed EM 541,9 (ex Et. Gen.) Κρότων· ὁ φθείρ· ἀπὸ τοῦ κρατεῖν οἷς ἂν ἐμφυῇ. ὁ δὲ Ὦρος βοτάνης ὄνομα λέγει, διὰ τὸ ὄζειν αὐτῆς τὸ σπέρμα, διατριβόμενον ἐν τοῖς δακτύλοις, ὁμοίως τῷ ζῴῳ· διὰ τοῦτο κρότων ἐκλήθη. ἔστι δὲ καὶ ὄνομα πόλεως παρ' αὐτῷ, ἀπὸ Κρότωνός τινος, ὅστις ὑπὸ Ἡρακλέους ἀνῃρέθη, similiter Et. Gud. 349,19 Sturz de urbe in Tyrrhenia sita cf. D. H. 1,26,1 ἔξω γὰρ Κρότωνος τῆς ἐν Ὀμβρικοῖς πόλεως ἀξιολόγου, καὶ εἰ δή τι ἄλλο ἐν τῇ Ἀβοριγίνων οἰκισθὲν ἐτύγχανε, τὰ λοιπὰ τῶν Πελασγῶν διεφθάρη πολίσματα. ἡ δὲ Κρότων ἄχρι πολλοῦ διαφυλάξασα τὸ παλαιὸν σχῆμα χρόνος οὐ πολὺς ἐξ οὗ τήν τε ὀνομασίαν καὶ τοὺς οἰκήτορας ἤλλαξε· καὶ νῦν ἐστι Ῥωμαίων ἀποικία, καλεῖται δὲ Κορθωνία

---

228 1 Κρομμυών Billerbeck (cf. Eust.): Κρομμύων RQPN πόλις iter. R^{ac}Q ἐφήβῳ QPN: -βοις R **229** 1–2 Ἑκαταῖος – οὐδετέρως om. N 2 κροσσαῖος R: κροσαῖος QP καὶ add. Meineke (cf. St. Byz. 260,4; 360,4; 367,18 etc.) **230** 1 Κρόταλλα – Ἰταλίας om. N 2 ἄβολλα ἀβολλαῖος R (cf. St. Byz. α 9): ἄβυλλα ἀβυλλαῖος QPN **231** 1 παρὰ RQ: περὶ PN 2 τὴν πόλιν ἢ addenda esse susp. Meineke in app. Αἴσαρος Cluverius (Italia ant. [1624] p. 1311): ἄξιος RQPN 3 φθαρτικοῦ Meineke: φθαρτοῦ RQPN καὶ ante ἑτέρα om. QPN 4 κυρρηνίας P^{ac} 4–5 οἱ πολῖται – κροτωνία καὶ κροτωνιᾶτις bis habet R 4 πολῖται RQ: -ίται PN κροτωνιᾶται R(semel κροτον-)Q: κροτωνιάται PN θηλυκῶς QPN: -κὸν R 5 κρωτωνιᾶτις Q^{ac} κροτωνιᾶτις R: -άτης QPN

227. Kromyusa, Insel <vor der Küste> Iberiens.[327] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 51). Das Ethnikon <lautet> Kromyusier.

228. Krommyon, Stadt in der Nähe von Askalon. Philemon <erwähnt sie> im *Epheben* (fr. 29 Kassel/Austin [PCG VII 243]).[328] Der Bürger <heisst> Krommyonier.

229. Krossa, Stadt am Schwarzen Meer. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 213). Das Ethnikon <lautet> Krossaier und <entsprechend> im Femininum (d.h. Κροσσαῖα) sowie im Neutrum (d.h. Κροσσαῖον).

230. Krotalla, Stadt in Italien.[329] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 85). Das Ethnikon <lautet> Krotallaier, wie <zu> Abolla Abollaier.

231. Kroton, herausragende Stadt in Italien,[330] nach Rhegion hin <gelegen>. <Der Name> wird auf dem Stamm betont, wenn er die Stadt oder den Berg bezeichnet, wo der Fluss Aisaros entspringt; hingegen wird, was für Hunde schädlich ist, <nämlich die Zecke>, auf der letzten Silbe betont (κροτών). Es gibt noch eine weitere Stadt <namens Kroton>, Hauptort Etruriens; zudem eine dritte in Italien.[331] Die Bürger <heissen> Krotoniaten und im Femininum Krotoniatidin; zudem <sagt man> Krotonier und <im Femininum> Krotonierin. Und das Krotoniatische <ist die Bezeichnung für die Landschaft> sowie Krotonias.[332]

---

327 Zur ansonsten unbekannten Insel s. Braun, Hecataeus' knowledge 313.

328 Wie das Ethnikon zeigt, ist πόλις Interpretament (richtig R^{pc}PN) und nicht Bestandteil des Lemmas (R^{ac}Q); das Komikerfragment ist entsprechend auf Κρομμυών zu begrenzen. Das Toponym ist verbreitet (vgl. oben κ 211); die syrische Stadt ist offenbar nicht weiter bekannt, doch war Askalon und sein Umland für Zwiebeln berühmt; vgl. Str. 16,2,29 (C 759,13), St. Byz. α 476,14.

329 Zur sonst unbekannten Stadt, die mit dem Fluss *Crotalus* (Plin. nat. 3,96) in Verbindung gebracht wird, s. BTCGI 5,471 f.

330 Inventory Nr. 56; BTCGI 5,472–521. Ein Berg namens Kroton, wie im Folgenden ewähnt, ist nicht weiter bekannt; die Verbindung mit der Stadt, wie von Meineke ergänzt, drängt sich also auf.

331 BTCGI 5,422–431, heute Cortona, in der Antike unter anderem auch Κυρτώνιος (κ 297) genannt. Eine dritte Stadt namens Kroton ist hingegen nicht bekannt; zu den verschiedenen Städten namens Kroton und zur möglichen Identifikation der letztgenannten mit der zweiten s. Maras/Michetti, Tirrenia e Tirreni negli *Ethnika* di Stefano Bizantino 48 und 53 f.

332 Mit dem Ethnikon Κρωτονιάτης werden gewöhnlich die Bürger beider Kroton bezeichnet. Belege für die feminine Form Κροτωνιᾶτις liefern Clem. Al. Strom. 1,16,80,4 und Suid. θ 84. Κροτώνιος ist einzig in Suid. μ 1066 adjektivisch belegt. Das Umland Krotons wird, neben Κροτωνιάς (Sch. Theoc. 4,33c; EM 138,22), mehrfach mit Κροτωνιᾶτις (vgl. z.B. Th. 7,35,1; Str. 6,1,3 [C 254,11]; Paus. 6,14,8) bezeichnet.

10 **232 Κρουστομερία**· πόλις Σαβίνων ἀντιστᾶσα Ῥωμύλῳ. Διονύσιος β̄ Ῥωμαϊκῆς ἀρχαιολογίας (2,32,2). τὸ ἐθνικὸν Κρουστομερῖνος.

6 **233 Κρουσίς**· μοῖρα τῆς Μυγδονίας. Στράβων ζ̄ (7 fr. 13e). ἡ γενικὴ Κρουσίδος. ἀπὸ Κρούσιος τοῦ Μυγδόνος υἱοῦ. τὸ ἐθνικὸν ἔδει Κρουσιδεύς ὡς Χαλκιδεύς. ἔστι δὲ Κρουσιεύς. καί ἐστι θηλυκὸν ὁμώνυμον Κρουσὶς γῆ.

13 **234 Κρύα**· πόλις Λυκίας. Ἀρτεμίδωρος ἐν Ἐπιτομῆς ᾱ. τὸ ἐθνικὸν Κρυεύς· „εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι Κρυέων, Κάρυσις καὶ Ἄλινα" (Epit. fr. 1 Stiehle).

16 **235 Κρυασσός**· πόλις Καρίας, ἀπὸ Κρυασσοῦ τοῦ Καρός. ὁ πολίτης Κρυασσεύς.

236 Κρωβίαλος· πολίχνιον πρὸς τῇ Ποντικῇ. Ἀπολλώνιος β̄ (2,942) „Κρωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον". οἱ οἰκοῦντες Κρωβιαλεῖς. 388

---

232 D. H. 2,32,2 ἦσαν δὲ αἱ πρῶται πόλεις ἄρξασαι τοῦ πρὸς αὐτὸν (sc. Ῥωμύλον) πολέμου Καινίνη καὶ Ἄντεμνα καὶ Κρουστομέρεια (v.l. Κρουστομερία), et 2,36,1 Ὁ δὲ Ῥωμύλος … ἐπὶ Κρουστομερίνους ἐξάγει τὴν στρατιὰν Κρουστουμέριον apud Plu. Rom. 17,1 **233** Str. 7 fr. 13a,3 τὰ ἐν τῇ Κρουσίδι πολίσματα Th. 2,79,4 ἐκ τῆς Κρουσίδος γῆς καλουμένης **234** Stad. 258 (GGM 1,494,13) Ἐκ Καλλιμάχης εἰς Κρύα (Müller, κρούαν cod.) στάδιοι ξ̄ Plin. nat. 5,103 *Crya fugitivorum* gentile in inscriptionibus invenitur, e.g. IG I³ 1,260 col. VII,10; 261 col. V,16; 262 col. II,5 **235** Plu. Moralia 246d τῶν δὲ Καρῶν οἱ Κρύασσαν οἰκοῦντες, ex quo pendet Polyaen. 8,64 Κᾶρες οἱ Κρυασσὸν οἰκοῦντες gentile invenitur et apud Plu. Moralia 246e et in inscriptionibus, e.g. IK Rhod. Peraia 302 B,10 **236** Sch. A. R. 2,941–42b Κρωβίαλος πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν Γεωγραφουμένοις (12,3,10 [C 545,4])· παρ' Ὁμήρῳ (B 855) δὲ μεταγράφει ἀντὶ τοῦ ‚Κρώμναν τ' Αἰγιαλόν τε' ‚Κρώμναν Κρωβίαλόν τε' Eust. ad B 855 (I 570,9) Λέγει δὲ ὁ Γεωγράφος (Str. 12,3,10 [C 545,4]) καί, ὅτι τὸ Ὁμηρικὸν τὸ „Κρῶμνάν τ' Αἰγιαλόν τε" γράφουσί τινες „Κρῶμναν Κωβίαλόν τε" καὶ ὅτι μετὰ Αἰγιαλὸν Κάραμβις. … Ἀπολλώνιος δὲ γράφει ἐν τοῖς ἑαυτοῦ (2,942) „Κρωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον". λέγει δὲ ὁ τὰ Ἐθνικὰ γράψας πολίχνιον πρὸς τῇ Ποντικῇ τὴν Κρωβίαλον EM 541,34 Κρωβίαλος· „Κρωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον" (A. R. 2,942). αὗται δὲ πόλεις Παφλαγονίας

---

232 post **233** transp. Meineke **232** 2 ἀρχαιολογίας RPN: ἀρχῆς Q **233** 1 ἡ γενικὴ R: ἡγεμονικῆς QPN 2 κρούσιος R: κρούσεως QPN τὸ ἐθνικὸν ἔδει Billerbeck (mon. Meineke, qui τὸ τοπικὸν ἔδει susp.): τῶ τοπικῶ ἔθει R[pc](ex τὸ τοπικὸν)QPN 3 ὡς PN: καὶ RQ Κρουσιεύς Bernhardy: κρουσ cum spat. 3–4 litt. QP, κρου cum spat. ca. 3 litt. N, κρουσᾶ R, Κρουσαῖος Holste καί ante ἐστι om. QPN 4 κρουσὶς QPN: κρυσὶς R **234** 1 ἐπιτομῆς Ald.: ἐπιτομῆ RQPN 2 ἄλινα R: ἀλίνα QPN **235** 1 Κρυασσοῦ Meineke (cf. St. Byz. β 187): κρυάσου RQPN Καρός Meineke in app.: κάρητος RQPN **236** 1 β̄ J. Hartung apud Berkel: γ̄ RQPN 2 κρώμναν RQPN Eust. A. R. (codd.): Κρῶμνάν Meineke κύτωρον QPN A. R.: κρύτωρον (ex κρη-) R

232. Krustomeria, Stadt der Sabiner,[333] die dem Romulus Widerstand geleistet hat. Dionysios <erwähnt sie> im zweiten Buch der *Römischen Altertumskunde* (2,32,2). Das Ethnikon <lautet> Krustomeriner.

233. Krusis, ein Teil von Mygdonien.[334] Strabon <erwähnt die Landschaft> im siebten Buch (7 fr. 13e). Der Genitiv <lautet> Κρουσίδος. <Benannt ist die Landschaft> nach Krusis, dem Sohn des Mygdon. Das Ethnikon müsste Krusideer <lauten> wie Chalkideer; aber <die Form> ist Krusieer.[335] Und das Femininum stimmt überein mit <der Bezeichnung> krusidisches Land.

234. Krya, Stadt in Lykien.[336] Artemidor <erwähnt sie> im ersten Buch der *Epitome*. Das Ethnikon <lautet> Kryeer: „Es gibt noch weitere Inseln <vor der Küste Lykiens mit Siedlungen> der Kryeer, <nämlich> Karysis und Alina" (Epit. fr. 1 Stiehle).[337]

235. Kryassos, Stadt in Karien,[338] <benannt> nach Kryassos, dem Sohn des Kar. Der Bürger <heisst> Kryasseer.

236. Krobialos, Kleinstädtchen an <der Küste der Landschaft> Pontos.[339] Apollonios (Rhodios) <erwähnt es> im zweiten Buch (2,942): „Krobialos und Kromna sowie das waldreiche Kytoros". Die Einwohner <heissen> Krobialeer.

---

[333] L. Quilici/S. Quilici Gigli, Crustumerium. Latium vetus 3 (Rom 1980), insb. 17–25 mit einer Zusammenstellung der literarischen Quellen.

[334] Papazoglou, Villes de Macédoine 417; zur Lage s. auch Zahrnt, Olynth und die Chalkidier 195–198.

[335] Der Artikel hat durch die Verkürzung an Klarheit eingebüsst. Wie der Hinweis auf den Genitiv (Κρουσίδος) sowie die Ableitung vom Eponym (Κροῦσις, Gen. Κρούσιος) zeigt, muss die Akzentuierung des Toponyms umstritten gewesen sein; dieser Schluss drängt sich ebenfalls durch die Analogie mit Χαλκίς, Χαλκιδεύς/Χάλκις, Χαλκιεύς auf, vgl. St. Byz. α 4 und bes. α 11 (Χάλκις Χάλκιος Χαλκιεύς). Bernhardys Κρουσιεύς bringt den gebrochenen Gedankengang also wieder ins Lot. Unerlässlich in diesem Zusammenhang ist freilich der formelhafte Hinweis auf das Ethnikon. Ob im ursprünglichen Artikel auch ein (sonst nicht belegtes) Topikon erwähnt war, ist nicht mehr zu eruieren; als Ersatz für τὸ ἐθνικὸν, wie Meineke es erwog (τὸ τοπικὸν ἔδει), kann es jedenfalls nicht dienen. Als Bezeichnung für ein Volk auf der Chalkidischen Halbinsel Pallene ist lediglich Κρουσαῖοι belegt (D. H. 1,47,6. 49,4).

[336] Inventory Nr. 907; TIB 8,2,667 f.

[337] Zum Artemidorfragment s. Schiano, Artemidoro di Efeso 50 f.

[338] Zgusta, Kleinasiatische Ortsnamen § 632–2; Debord/Varinlioğlu, Hautes terres 198.

[339] Der Ort ist offensichtlich nur durch Apollonios Rhodios und die bei Strabon fassbare Diskussion zu Il. 2,855 (Κωβίαλος anstelle von Αἰγιαλός) bekannt, von denen alle weiteren Belege abhängen. Zur Schreibung Κρω-/Κω- s. Radt, Kommentar 7,358.

237 Κρῶμνα· πόλις Παφλαγονίας, ἡ νῦν Ἄμαστρις, ὡς εἴρηται. τινὲς
5 δέ φασι χωρίον Ἀμάστριδος. τὸ ἐθνικὸν Κρωμνίτης καὶ Κρωμναῖος καὶ
Κρωμναιεύς. ἔστι καὶ Πελοποννήσου πόλις ἀρσενικῶς καὶ θηλυκῶς καὶ
ἑνικῶς καὶ πληθυντικῶς. ἀπὸ Κρώμνου τοῦ Λυκάονος.

238 Κρωπιά· δῆμος τῆς Λεοντίδος φυλῆς. Φρύνιχος (fr. 31 Borries) δὲ
Κρωπιάδα φησίν. Ἀνδροτίων (FGrHist 324 F 67) δὲ Κρῶπάς φησι τὸν
10 δῆμον. ὁ δημότης Κρωπίδης. τὰ τοπικὰ ἐκ Κρωπιδῶν ἐν Κρωπιδῶν καὶ
Κρωπιᾶθεν Κρωπιάνδε καὶ Κρωπιᾶσιν.

239 Κρῶς· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει Ἀσίας (FGrHist 1
F 315). ὁ πολίτης Κρωίτης, καὶ νομὸς Κρωίτης. ἔστι καὶ Κρῶις Ἀράβων
πόλις.

---

237 Eust. ad B 855 (I 569,16) Κρῶμνα δὲ ἢ χωρίον Ἀμάστριδος κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα ἢ πόλις Παφλαγονίας, αὐτὴ ἡ νῦν Ἄμαστρις. ἐθνικὸν καὶ αὐτῆς τριχῶς, Κρωμνίτης καὶ Κρωμναῖος καὶ Κρωμνιεύς. ἔστι δὲ καὶ Πελοποννησία Κρῶμνα   de oppido in Paphlagonia sito cf. St. Byz. α 262 Ἄμαστρις· πόλις Παφλαγονίας, ἡ πρότερον Κρῶμνα, „Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους" (B 855); EM 79,16 Ἄμαστρις· πόλις Παφλαγονίας, ἡ πρότερον Κρώμνα   Str. 12,3,10 (C 544,26) Μετὰ δὴ τὸν Παρθένιον ποταμόν ἐστιν Ἄμαστρις, ἐπώνυμος τῆς συνῳκικυίας πόλις· ἵδρυται δ' ἐπὶ χερρονήσου λιμένας ἔχουσα τοῦ ἰσθμοῦ ἑκατέρωθεν. ἦν δ' ἡ Ἄμαστρις γυνὴ μὲν Διονυσίου τοῦ Ἡρακλείας τυράννου, θυγάτηρ δὲ Ὀξυάθρου τοῦ Δαρείου ἀδελφοῦ τοῦ κατὰ Ἀλέξανδρον. ἐκείνη μὲν οὖν ἐκ τεττάρων κατοικιῶν συνῴκισε τὴν πόλιν, ἔκ τε Σησάμου καὶ Κυτώρου καὶ Κρώμνης – ὧν καὶ Ὅμηρος μέμνηται ἐν τῷ Παφλαγονικῷ διακόσμῳ (B 853–55) –, τετάρτης δὲ τῆς Τίου   Menipp. Peripl. 5817 Diller (= GGM 1,570,22) Ἀπὸ Ἀμάστριδος εἰς Κρῶμναν (Κρώμναν Müller) χωρίον στάδιοι ρν   de oppido in Peloponneso sito cf. X. HG 7,4,20 καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν, καὶ καταλαμβάνει Κρῶμνον; Ath. 10,452a τοιοῦτόν τι καὶ Καλλισθένης ἐν ταῖς Ἑλληνικαῖς (FGrHist 124 F 13) φησιν, ὡς Ἀρκάδων πολιορκούντων Κρῶμνον (πολίχνιον δ' ἐστὶν ἱδρυμένον πλησίον Μεγάλης πόλεως) ...; Sch. Lyc. (Tzetzes) 522 Κρῶμνα δὲ χωρίον Κορίνθου; Paus. 8,3,4 ὠνομάσθησαν δὲ καὶ ἀπὸ Κρώμου Κρῶμοι   **238** Th. 2,19,2 διὰ Κρωπιᾶς (v.l. Κρωπειᾶς)   Ar. Eq. 79 ὁ νοῦς δ' ἐν Κλωπιδῶν cum Sch. ad loc. τὸ δ' ἐν Κλωπιδῶν ἐναλλαγὴ πάλιν στοιχείου, τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς   St. Byz. ε 164 Εὐπυρίδαι· δῆμος Λεοντίδος φυλῆς. ὁ δημότης Εὐπυρίδης. τρικώμους δὲ τούτους ἐκάλουν, Εὐπυρίδας Κρωπίδας (Meineke, κροπίδας RQ, κεκροπίδας PN) Πήληκας   **239** Eust. ad β 1 (I 76,40) τῶν δὲ μονοσυλλάβων ἓν ὀξύνεται, μένον καὶ ἄκλιτον, ἡ δώς, ὅ ἐστιν ἡ δωρέα. τὰ δ' ἄλλα, περισπῶνται καὶ κλίνονται. Κρῶς πόλις. Τλῶς ὁμοίως. Κῶς νῆσος, similiter Ps.-Arc. 146,2, EM 293,48, Zonar. p. 588; cf. St. Byz. α 170 (cum adn.) ἔστι δὲ <ὡς> παρὰ τὸ Κρῶς {πόλις δέ ἐστιν Ἀράβων} τὸ ἐθνικὸν Κρωίτης νομὸς διὰ τοῦ ω

---

237 1 Κρῶμνα R: Κρώμνα QPN   3 πελοποννήσου R: -πονήσου QPN   4 ἀπὸ RQP: ἐπὶ N
238 1 Κρωπιά Meineke: Κρωπία QPN, Κροπία R   λεοντίδος PN: -νίδος RQ   2 κρωπιάδα (ex -ίαδα) R: κροπιάδα QPN   ἀνδρωτίων QP   3 ἐκ κρωπιδῶν Q[pc](ex -διδῶν)PN: ἐκ κροπιδῶν R   ἐν Κρωπιδῶν om. N   4 Κρωπιᾶθεν Meineke: κρωπίᾶθεν R, κρωπίαθεν QPN   Κρωπιάνδε Xylander: κρωπίανδε RQPN   καὶ ante Κρωπιᾶσιν om. QPN   κροπιᾶσι R
239 2 νομὸς Berkel: νόμος RQPN   κρῶις RQP: κρωὶς N

237. Kromna, Stadt in Paphlagonien, das heutige Amastris, wie gesagt worden ist.[340] Einige sagen jedoch, es sei ein Ort <im Umland> von Amastris. Das Ethnikon <lautet> Kromnit und Kromnaier sowie Kromnaieer. Es gibt auch auf der Peloponnes eine Stadt, <deren Name> im Maskulinum (Κρῶμνος) und im Femininum (Κρῶμνα/Κρώμνα) sowie im Singular und im Plural <gebraucht wird>.[341] <Benannt ist sie> nach Kromnos, dem Sohn des Lykaon.

238. Kropia, Demos der Phyle Leontis.[342] Phrynichos (fr. 31 Borries) aber nennt ihn Kropias. Und Androtion (FGrHist 324 F 67) nennt den Demos Kropes. Der Demot <heisst> Kropide. Die Topika <lauten> ‚aus dem Kropiden<-Demos>' (ἐκ Κρωπιδῶν), ‚im Kropiden<-Demos>' (ἐν Κρωπιδῶν)[343] sowie ‚aus Kropia' (Κρωπιᾶθεν), ‚nach Kropia' (Κρωπιάνδε) und ‚in Kropia' (Κρωπιᾶσιν).

239. Kros, Stadt in Ägypten.[344] Hekataios <erwähnt sie> in der *Periegese Asiens* (FGrHist 1 F 315). Der Bürger <heisst> Kroït, ferner Kroïtischer Gau. Es gibt auch Kroïs, eine Stadt der Araber.

---

[340] St. Byz. α 262. Zum Ort, auch als Paroxytonon Κρώμνα geschrieben (vgl. Menipp. Peripl. 5817 Diller; Ptol. Geog. 5,1,7 [5,1,3 codd.]), s. Inventory Nr. 723; Cohen, Hell. settlements 1,383 f.; TIB 9,241 f. Von den Ethnika ist anderweitig einzig Κρωμνίτης (auch St. Byz. β 104) belegt (z. B. IK Sinope I 1,24). Beim Ethnikon Κρωμναιεύς handelt es sich um einen verbreiteten Bildungstypus (vgl. St. Byz. ε 186 καὶ ἀπὸ τοῦ ᾿Εχιναῖος ᾿Εχιναιεύς, ὡς Κρηταῖος Κρηταιεύς); eine Parallele für das bei Eustathios verzeichnete Ethnikon Κρωμνιεύς bietet hingegen St. Byz. β 167 Βρένθη· πόλις Ἀρκαδίας, … . τὸ ἐθνικὸν Βρενθαῖος ἢ Βρενθιεύς, ὡς εἰρήσεται <ἐν τῷ> περὶ τοῦ Ὄρθη.

[341] Inventory Nr. 334; als sichere Pluralform ist nur Paus. 8,3,4 Κρῶμοι belegt (s. Similia).

[342] DNP 6,870.

[343] Die Epitome schreibt meist alle drei Topika aus (vgl. κ 149, κ 176, κ 222 usw.), doch gibt es auch nur partielle Reihung (z. B. α 565; α 566; β 73; ε 93).

[344] Calderini/Daris, Dizionario 3,2,159; die danach genannte arabische Stadt Kroïs ist hingegen unbekannt.

15 **240 Κτησιφῶν**· πόλις Ἀσσυρίας. Μαρκιανὸς ἐν Περίπλῳ (1,18 [GGM 1,528,18]). τὸ ἐθνικὸν Κτησιφώντιος.

241 Κτιμένη· πόλις Θετταλίας, ὑπὸ Πηλέως Φοίνικι δωρηθεῖσα, ἧς τοὺς πολίτας Ὅμηρος (Ι 484) Δόλοπάς φησιν, ὡς Σίντιας τῆς Λήμνου (Α 594; θ 294), καὶ Τρῶας τῆς Ἰλίου καὶ Ζελείας (Β 824), καὶ Ἐπειοὺς τῆς
20 Ἤλιδος (Β 619), καὶ Φαίακας τῆς Σχερίας (ε 35. 386; ζ 55, etc.), καὶ
389 Ἄβαντας τοὺς Εὐβοέας (Β 536). καὶ „Κτιμένην Δολοπηίδα“ (A. R. 1,68). 5
τὸ ἐθνικόν, ὡς Κλαζομένιος, Κτιμένιος καὶ Κτιμεναῖος.

242 Κύαλος· πόλις Λυδίας, κτισθεῖσα ἀπὸ <Κυάλου τοῦ> Διός. τὸ ἐθνικὸν Κυάλιος, ὡς Φάρσαλος Φαρσάλιος.

5 **243 Κύαρδα**· πόλις Καρίας, ἀπὸ Κυάρδου βασιλέως Καρῶν, υἱοῦ Βαργάσου. τὸ ἐθνικὸν Κυαρδεύς ὡς Λαρανδεύς.

244 Κυβασσός· πόλις Καρίας, ὡς Καβασσός. τὸ ἐθνικὸν Κυβασσεύς ὡς Ἁλικαρνασσεύς.

245 Κυβέλεια· πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 230).
10 Ἡρωδιανὸς (1,322,6) δὲ Κυβέλην φησὶ πόλιν Φοινίκης. ἔστι καὶ Κύβελα Φρυγίας. καὶ Κύβελον ὄρος, ἀφ᾽ οὗ Κυβέλη ἡ Ῥέα λέγεται καὶ Κυβεληγενής καὶ Κυβελίς. Πείσανδρος ῑ (fr. 9 Heitsch).

---

240 Str. 16,1,16 (C 743,25) Πάλαι μὲν οὖν ἡ Βαβυλὼν ἦν μητρόπολις τῆς Ἀσσυρίας, νῦν δὲ Σελεύκεια ἡ ἐπὶ τῷ Τίγρει λεγομένη. πλησίον δ᾽ ἐστὶ κώμη Κτησιφῶν (v.l. -φὼν) λεγομένη, μεγάλη … . δυνάμει οὖν Παρθικὴ πόλις ἀντὶ κώμης ἐστί, καὶ τῷ μεγέθει, …; Ptol. Geog. 6,1,3 Κτησιφών et oppidi nominis accentus et declinatio explicata sunt apud Choerob. GG IV 1,282,4 et 316,27 **241** A. R. 1,67–68 ἄγχι δὲ λίμνης | Ξυνιάδος Κτιμένην Δολοπηίδα ναιετάασκε, cum Sch. ad loc. Κτιμένην Δολοπηίδα· Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηίδα δὲ τὴν Θεσσαλικὴν εἶπε· Δόλοπες γὰρ ἔθνος Θεσσαλίας. Ὅμηρος (Ι 484)· „ναῖον δ᾽ ἐσχατιὴν Φθίης Δολόπεσσιν ἀνάσσων“; Hsch. κ 4319 κτιμένη· κατῳκισμένη. καὶ πόλις Θεσσαλίας Ptol. Geog. 3,13,44 (3,12,41) Κτιμεναί gentile Κτιμεναῖος in inscriptionibus invenitur, e.g. CID 2,74 col. I,49 **243** de Bargaso cf. St. Byz. β 38 **245** Str. 14,1,33 (C 645,3) μεταξὺ δὲ τῶν Ἐρυθρῶν καὶ τοῦ Ὑποκρήμνου Μίμας ἐστὶν ὄρος ὑψηλόν, εὔθηρον, πολύδενδρον, εἶτα κώμη Κυβέλεια (Meineke, κυβελία codd.) καὶ ἄκρα Μέλαινα καλουμένη, μύλων ἔχουσα λατόμιον de urbe Phrygiae cf. Sch. Lyc. (Tzetzes) 1170 ὁ Ἱππῶναξ (fr. 156 West[2]) Κύβηλιν τὴν Ῥέαν λέγει, παρὰ τὸ ἐν Κυβέλλᾳ πόλει Φρυγίας τιμᾶσθαι de monte cf. EM 542,54 Κύβελον· ὄρος ἐν Φρυγίᾳ· ἔνθα τῆς μητρὸς τῆς Κυβέλης ἱερὸν ἅγιον ἐστίν. Ἀλέξανδρος δὲ ὁ πολυΐστωρ ἐν τῷ Περὶ Βιθυνίας (FGrHist 273 F 12)· „ἔοικεν οὖν Κυβέλη ἀπὸ τοῦ ὄρους κληθῆναι“ et D. S. 3,58,1, sed saepius τὰ Κύβελα nominatur, e.g. Str. 12,5,3 (C 567,32), Sch. Ar. Av. 876b, Suid. κ 2586 forma epica Κυβεληΐς non adest nisi apud Nonn. D. (10,140; 12,395; 13,567, etc.)

---

240 1 ἀσσυρίας PN: -ρία RQ ἐν om. PN **241** 1 Κτιμένη Meineke, qui tmema huc transp.: Κτημένη RQPN, ubi tmemati **240** antecedit 3 ἐπειοὺς PN: ἐπηοὺς R, ἐπ᾽ἠεῦς Q 4 σχερίας R: χερίας Q, κερκύρας PN 5 καὶ Κτιμένην Meineke (ex A. R.): καὶ κτημένην PN, κεκτημένην RQ Δολοπηίδα Meineke (ex A. R.): -πιάδα RQPN 6 Κτιμένιος … Κτιμεναῖος Meineke: κτη- bis RQPN **242** 1 Κυάλου τοῦ add. Holste **244** 1 Κυβασσός … Καβασσός Berkel (cf. St. Byz. κ 2 et Hdn. 1,209,20): Κύβασσος … κάβασσος RQ(acc. supra ο exp.)PN 2 ἀλικαρνασσεὺς QP **245** 2 κυβέλην φησὶ πόλιν QPN: πόλιν φ. κυβέλην R 2–3 Κύβελα et Κύβελον Holste: κύβελλα et κύβελλον RQPN 3 ὄρος susp. Pinedo: ἱερὸν RQPN, <ὄρος> ἱερόν Meineke 4 κυβελὶς PN: κυβιλὶς R[pc](ex -βηλ-)Q

240. Ktesiphon, Stadt in Assyrien.[345] Markianos <erwähnt sie> im *Periplus* (1,18 [GGM 1,528,18]). Das Ethnikon <lautet> Ktesiphontier.

241. Ktimene, Stadt in Thessalien,[346] von Peleus dem Phoinix geschenkt, deren Bürger Homer (Il. 9,484) als Doloper <bezeichnet>, wie er Sintier <die Bewohner> von Lemnos (Il. 1,594; Od. 8,294), Troer <die Einwohner> von Ilios und Zeleia (Il. 2,824), Epeier <die Bewohner> von Elis (Il. 2,619), Phaiaken jene von Scheria (Od. 5,35. 386; 6,55, usw.) und Abanter die Euboeer (Il. 2,536) <nennt>. Ferner <gibt es> „das dolopische Ktimene" (A. R. 1,68). Das Ethnikon <lautet, gebildet> wie Klazomenier, Ktimenier sowie Ktimenaier.

242. Kyalos, Stadt in Lydien,[347] gegründet von Kyalos, einem Sohn des Zeus. Das Ethnikon <lautet> Kyalier, wie <zu> Pharsalos Pharsalier.

243. Kyarda, Stadt in Karien,[348] <benannt> nach Kyardos, einem König der Karer, Sohn des Bargasos. Das Ethnikon <lautet> Kyardeer, wie Larandeer.

244. Kybassos, Stadt in Karien,[349] <gebildet> wie Kabassos. Das Ethnikon <lautet> Kybasseer, wie Halikarnasseer.

245. Kybeleia, Stadt in Ionien.[350] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 230). Herodian (1,322,6) hingegen nennt Kybele eine Stadt in Phönizien. Es gibt auch <einen Ort> Kybela in Phrygien.[351] Ferner einen Berg <namens> Kybelon, nach welchem <die Göttin> Rhea Kybele und Κυβεληγενής (‚auf dem Berg Kybelon Geborene') und Kybelis genannt wird. <Davon spricht> Peisandros im zehnten Buch (fr. 9 Heitsch).

---

[345] Cohen, Hell. settlements 3,100 f.

[346] Inventory Nr. 419; literarische und inschriftliche Belege (s. Similia) empfehlen Meinekes Korrektur der in RQPN durchgängig gehaltenen Schreibweise Κτη- sowie die entsprechende Umstellung des Artikels nach κ 240. Eine exakte Analogie des Ethnikons mit Κλαζομένιος setzt das Toponym in der Schreibung Κτιμεναί voraus, wie sie Ptol. Geog. 3,13,44 (3,12,41) überliefert; vgl. ferner Ps.-Arc. 127,15.

[347] Zur ansonsten unbekannten Stadt s. Zgusta, Kleinasiatische Ortsnamen § 634.

[348] Zgusta, Kleinasiatische Ortsnamen § 635.

[349] Zur ansonsten unbekannten Stadt s. Zgusta, Kleinasiatische Ortsnamen § 636.

[350] Inventory S. 1060; Zgusta, Kleinasiatische Ortsnamen § 637.

[351] Zgusta, Kleinasiatische Ortsnamen § 637. Für das doppelte λ im Namen der Phrygerstadt Κύβελλα (RQPN, Sch. Lyc. [Tzetzes, e St. Byz.]) sowie im Namen des Berges (RQPN) gibt es sonst keine Belege.

246 Κύβος· πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. Ἑκαταῖος Περιηγήσει αὐτῆς (FGrHist 1 F 343) „καὶ λιμήν <***>που ἄκρη καὶ Κυβώ". ὁ
15 πολίτης Κυβοίτης, ὡς Σαβοίτης τῆς Σαβοῦς, ἢ Κυβίτης, ὡς τῆς Βούτου Βουτίτης.

390 **247 Κυδαθήναιον**· {ὁ} δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Κυδαθηναιεύς. ἐντεῦθεν ἦν Νικοχάρης ὁ κωμικός (test. 2 Kassel/Austin [PCG VII 39]). καὶ „κύων Κυδαθηναιεύς" (Ar. V. 895). τὰ τοπικὰ ἐκ Κυδαθηναιέων εἰς Κυδαθηναιέων ἐν Κυδαθηναιέων.

5 **248 Κυδαντίδαι**· δῆμος τῆς Αἰγηίδος φυλῆς, ὡς δὲ Φρύνιχος (fr. 32 Borries), Πτολεμαΐδος. ὁ δημότης Κυδαντίδης. τὰ τοπικὰ ἐκ Κυδαντιδῶν ἐς Κυδαντιδῶν ἐν Κυδαντιδῶν.

249 Κύδνα· πόλις Μακεδονίας. Θεαγένης ἐν Μακεδονικοῖς (FGrHist 774
10 F 5). ἢ κατὰ παραφθορὰν Πύδνα λέγεται. τὸ ἐθνικὸν Πυδναῖος. ἔστι καὶ Κύδνος ποταμὸς Κιλικίας.

250 Κύδραι· πόλις τῶν Δευριόπων. Στράβων ζ̄ (7,7,9 [C 327,18]).

---

247 Sch. Pl. Smp. 173b2 Κυδαθηναιεύς. Κυδαθήναιον δῆμος ἐν ἄστει τῆς Πανδιονίδος φυλῆς καλεῖται δὲ καὶ Κύδαθον, ἐξ οὗ Ἀριστόδημος Harp. κ 87 Κυδαθηναιεύς· Ὑπερείδης ἐν τῷ Περὶ τοῦ Ἱππέως κλήρου (fr. 109 Jensen). Κυδαθήναιον δῆμός ἐστι φυλῆς τῆς Πανδιονίδος, ἀφ' οὗ ὁ δημότης Κυδαθηναιεύς; similiter Hsch. κ 4394; Phot. κ 1157; Suid. κ 2604 **248** Harp. κ 88 Κυδαντίδης· Ὑπερείδης ἐν τῷ Πρὸς Πολύευκτον (fr. 158 Jensen). δῆμός ἐστι τῆς Αἰγηΐδος Κυδαντίδαι; similiter Phot. κ 1160; Suid. κ 2606 Hsch. κ 4405 Κυδαντίδαι· δῆμος τῆς Πτολεμαΐδος φυλῆς IG III App. 100 b,9 ἐκ Κυδαντιδῶν; IG II/III[2] 2,2,1597,5 ἐγ Κυδαντιδῶν **249** Mela 2,35 *ante Axium Thessalonice est, inter utrumque Cassandria, Cydna, Aloros, Itharis* St. Byz. 538,16 Πύδνα· πόλις Μακεδονίας. ὁ πολίτης Πυδναῖος flumen Ciliciae pernotum est, cf. e.g. X. An. 1,2,23; Str. 14,5,10 (C 672,25); Stad. 168 (GGM 1,481,12) St. Byz. 605,1 Ταρσός· ἐπισημοτάτη πόλις Κιλικίας … . (605,21) ἔστι δ' ἄποικος Ἀργείων, κτίσμα Σαρδαναπάλλου. ταύτην διαρρεῖ ποταμὸς Κύδνος μέσος, ψυχρός τε καὶ καθαρός **250** Str. 7,7,9 (C 327,15) Πρότερον μὲν οὖν καὶ πόλεις ἦσαν ἐν τοῖς ἔθνεσι τούτοις· … καὶ ἐπὶ τῷ Ἐρίγωνι πᾶσαι αἱ τῶν Δευριόπων πόλεις ᾤκηντο, ὧν τὸ Βρυάνιον καὶ Ἀλκομεναὶ καὶ Στύβαρα· Κύδριαι δὲ Βρύγων, Αἰγίνιον δὲ Τυμφαίων

---

246 1 λυβίη R 2 αὐτῆς R: αὐτοῦ QPN Hecataei verba <μετὰ δὲ Ἰτύκη, πόλις καὶ> λιμήν, Ἵππου ἄκρη excidisse susp. Meineke (cl. Ps.-Scyl. 111,5) κυβὼ R[pc]P[pc]N: κυβῶ R[ac]QP[ac] 3 Κυβοίτης Meineke: κυβίτης RQPN σαβοίτης RQ: σαβίτης PN κυβίτης RQ: κυβοίτης PN Βούτου Meineke: βούτοῦς R, βουτοῦς QPN 4 βουτίτης R: βουτοίτης QPN **247** 1 ὁ ante δῆμος secl. Westermann κυδαθηναιεὺς RQP: κυδαθηνεύς N 2 ὁ ante κωμικός om. RQP 3–4 Κυδαθηναιέων ter Meineke: -ναίων ter RQPN **248** 1 Κυδαντίδαι QPN: -ῗδαι R 2–3 ἐκ κυδαντιδῶν ἐς κυδαντιδῶν ἐν κυδαντιδῶν PN: ἐκ κυδαντίδων· ἐν κυδαντίδων RQ **249** 3 Κιλικίας Holste: βιθυνίας RQPN **250** Κύδραι QPN: Κύδρα R Δευριόπων Bernhardy: δω cum spat. 2–3 litt. ωπῶν RQ, δω cum spat. 4–6 litt. PN

246. Kybos, Stadt der Ionier <an der Küste> des von Phöniziern <bewohnten> Libyens. Hekataios <sagt> in der *Periegese Libyens* (FGrHist 1 F 343): „und ein Hafen, <***> Vorgebirge und Kybo". Der Bürger <von Kybo heisst> Kyboït, <gebildet> wie Saboït von Sabo, oder <von Kybos> Kybit, wie von Butos Butit.[352]

247. Kydathenaion, Demos der Phyle Pandionis.[353] Der Demot <heisst> Kydathenaieer. Von dort stammte der Komödiendichter Nikochares (test. 2 Kassel/Austin [PCG VII 39]). Ferner <der Ausdruck> „der Kydathenaieer Hund" (Ar. V. 895). Die Topika <lauten> ‚aus dem Kydathenaieer<-Demos>' (ἐκ Κυδαθηναιέων), ‚in den Kydathenaieer<-Demos>' (εἰς Κυδαθηναιέων), ‚im Kydathenaieer<-Demos>' (ἐν Κυδαθηναιέων).

248. Kydantidai, Demos der Phyle Aigeïs, aber laut Phrynichos (fr. 32 Borries) <der Phyle> Ptolemaïs.[354] Der Demot <heisst> Kydantide. Die Topika <lauten> ‚aus dem Kydantiden<-Demos>' (ἐκ Κυδαντιδῶν), ‚in den Kydantiden<-Demos>' (ἐς Κυδαντιδῶν), ‚im Kydantiden<-Demos>' (ἐν Κυδαντιδῶν).

249. Kydna, Stadt in Makedonien. Theagenes <erwähnt sie> in den *Makedonika* (FGrHist 774 F 5). Diese <Stadt> wird infolge lautlicher Entstellung Pydna genannt.[355] Das Ethnikon <lautet> Pydnaier. Es gibt auch Kydnos, einen Fluss in Kilikien.[356]

250. Kydrai, Stadt der Deuriopen.[357] Strabon <erwähnt die Stadt> im siebten Buch (7,7,9 [C 327,18]).

---

352 Über den weiter nicht bekannten Ort Κύβος/Κυβώ s. Braun, Hecataeus' knowledge 330–333. Die Analogie mit den alternativen Formen des Ethnikons erklärt sich im Licht von Βοῦτος/Βουτώ (β 157); vgl. ferner St. Byz. 695,16 und 701,3 (Σαβοίτης).

353 DNP 6,957 mit weiterführender Literatur.

354 DNP 6,956 f. mit weiterführender Literatur.

355 Vgl. St. Byz. 538,16 (s. Similia); dazu Inventory Nr. 544; Papazoglou, Villes de Macédoine 106–108.

356 Zgusta, Kleinasiatische Ortsnamen § 640.

357 Zum Ort mit unbekannter Lage s. Papazoglou, Villes de Macédoine 271 f. Hinter dem in RQ überlieferten δω…ωπῶν verbirgt sich mit grosser Wahrscheinlichkeit Δευριόπων. Im Licht des Belegs aus Strabon, der Kydrai nicht als Stadt der Deuriopen, sondern der Bryger bezeichnet, entpuppt sich die Lesart indes als ein Fehler, der wohl dem Epitomator anzulasten ist.

251 Κύδραρα· πόλις. Ἡρόδοτος ζ̄ (7,30,2). τὸ ἐθνικὸν Κυδραραῖος ὡς Μεγαραῖος. ἔστι δὲ πρὸς τοὺς ὅρους <τῶν> Φρυγῶν.

15 **252 Κυδρήνη**· πόλις Ἀρμενίας, οὐχ ὥς τινες Κύδρος. τὸ ἐθνικὸν Κυδρηναῖος.

253 Κυδωνία· πόλις Κρήτης, ἡ πρότερον Ἀπολλωνία, ἀπὸ Κύδωνος
391 τοῦ Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρός. β̄ πόλις Σικελίας. γ̄ Λιβύης. ὁ πολίτης Κυδωνιάτης καὶ Κύδων καὶ Κυδώνιος καὶ Κυδωναῖος, καὶ Κυδωνία θηλυκῶς καὶ Κυδωνίς, καὶ Κυδωνικὸς ἀνήρ.

---

251 Hdt. 7,30,2 ἐκ δὲ Κολοσσέων ὁ στρατὸς ὁρμώμενος ἐπὶ τοὺς οὔρους τῶν Φρυγῶν καὶ Λυδῶν ἀπίκετο ἐς Κύδραρα (v.l. Κύδρα) πόλιν, ἔνθα στήλη καταπεπηγυῖα, σταθεῖσα δὲ ὑπὸ Κροίσου, καταμηνύει διὰ γραμμάτων τοὺς οὔρους **253** Theoc. 7,12 ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα, cum Sch. ad loc. Κύδων ὄνομα ἔθνους. ἔστι δὲ καὶ πόλις Κυδωνία ἀπὸ Κύδωνος τοῦ Ἑρμοῦ καὶ Ἀκακαλλίδος Ptol. Geog. 3,17,8 (3,15,5) Κυδωνία (v.l. Κυδωνεῖς) Κυδωνίη apud Hdt. 3,44,1 et 59,1; Κυδωνίς apud Sch. QV ad γ 292; Eust. ad γ 292 (I 127,41) de oppidi Cretici conditore cf. Sch. B ad τ 176; qui Mercuri filius nominatur apud Paus. 8,53,4; Sch. A. R. 4,1490–94b; Sch. Theoc. 7,12c St. Byz. λ 19 λέγεται καὶ κατὰ συγκοπὴν Λάκων, ὡς Ἀπολλόδωρός (FGrHist 244 F 194) φησιν, ὡς τοῦ Κυδωνιᾶται τὸ Κύδωνες

---

251 2 δὲ post ἔστι om. R τοὺς ὅρους <τῶν> Berkel (cl. Hdt.): τὰ ὄρη RQPN **252** 1 ἁρμενίας Q **253** 2 Ἀπόλλωνος καὶ om. R Ἀκακαλλίδος Meineke (cf. St. Byz. ο 3): ἀκάλλιδος RQPN, Ἀκακάλλιδος Xylander μίνω R: μίνωος QPN πόλις om. QPN 3 γ̄ Holste: τῆς RQPN 4 Κυδωνία θηλυκῶς καὶ Κυδωνίς Meineke: κυδώνιος θηλυκῶς καὶ κυδωνὶς R, κυδώνιος θηλυκῶς καὶ κυδωναῖος καὶ κ cum spat. 3 litt. νὶς Q, κυδονὶς θηλυκῶς PN

251. Kydrara, Stadt. Herodot <erwähnt sie> im siebten Buch (7,30,2). Das Ethnikon <lautet> Kydraraier, wie Megaraier. <Kydrara> liegt zur phrygischen Grenze hin.[358]

252. Kydrene, Stadt in Armenien, nicht, wie einige <behaupten>, Kydros <genannt>. Das Ethnikon <lautet> Kydrenaier.

253. Kydonia, auf Kreta <gelegene> Stadt, die früher Apollonia <hiess>,[359] <benannt> nach Kydon, dem Sohn des Apollon und der Akakallis, der Tochter des Minos. Ein zweites <Kydonia ist> eine Stadt auf Sizilien.[360] Ein drittes <liegt> in Libyen. Der Bürger <heisst> Kydoniat und Kydone und Kydonier und Kydonaier, und im Femininum <sagt man> Kydonierin sowie Kydonidin; ferner <gibt es den Ausdruck> ‚Kydonischer Mann'.[361]

---

[358] Zgusta, Kleinasiatische Ortsnamen § 641 und § 1399. Das Herodotzitat ἐπὶ τοὺς οὔρους τῶν Φρυγῶν τε καὶ Λυδῶν wurde bis auf die Stellenangabe verknappt, der Inhalt nur im Nachgang referiert. Die geographische Bezeichnung τὰ ὄρη (RQPN) ist hier fehl am Platz; ihren Ursprung hat sie wohl in der missverstandenen ionischen Form bei Herodot τοὺς οὔρους (όρους AB, ὅρους T). Kommt hinzu, dass auch die klärende Nennung der Grenznachbarn, der Lyder, in der Epitome weggefallen ist.
Das Ethnikon ist nicht belegt; dasselbe gilt für die angeblich analoge Bildung Μεγαραῖος, weshalb Meineke Κυδαρεύς ὡς Μεγαρεύς erwog. Alternativformen bei Ethnika kleinasiatischer Toponyme auf -εύς wurden offenbar aber auch sonst konstruiert, vgl. St. Byz. θ 71, ferner α 66.

[359] Inventory Nr. 968; nicht identisch mit der in α 361 genannten kretischen Stadt Apollonia (= Inventory Nr. 946).

[360] Zur sonst unbekannten Stadt s. BTCGI 5,301 f.; Manni, Geografia della Sicilia antica 163.

[361] Das für die kretische Stadt gebräuchliche Ethnikon ist Κυδωνιάτης (z. B. Th. 2,85,5; Str. 10,4,13 [C 479,12]; Inscr. Cret. II x 2,2); und die Kydonen bildeten einen Volksstamm im Westen Kretas (vgl. Od. 3,292 mit Sch. und Eust. ad loc.; Str. 10,4,6 [C 475,33]). Κυδώνιοι werden zudem in Hsch. υ 165 erwähnt. Als Adjektiv, auch in der erweiterten Bedeutung „kretisch", begegnen sowohl Κυδώνιος (z. B. Ath. 3,81d; Call. Dian. 81 mit Sch. ad loc.) als auch Κυδωναῖος (Nonn. D. 13,226; 33,374; 48,969). Das Ktetikon ist schliesslich in Theoc. 7,12 sowie inschriftlich (IG II/III^2 2,2,1643,1) belegt.

254 Κύζικος· πόλις τῆς Προποντίδος κειμένη ἐπὶ χερρονήσῳ. ἐκαλεῖτο δὲ καὶ Ἄρκτων νῆσος. τὸ ἐθνικὸν Κυζικηνός καὶ Κυζικηνή. {ἡ ποίησις} <Ἀπολλώνιος> (1,947. 952, etc.) δὲ τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν, ὡς Ὅμηρος (Β 846, Ρ 73; ι 39. 47, etc.) τοὺς τὴν Ἴσμαρον Κίκονας. λέγεται καὶ κτητικὸν Κυζικηνικός. κέχρηνται δὲ καὶ τῷ Κυζικηνός ἁπλῷ ἀντὶ τοῦ κτητικοῦ, ὡς τὸ Τυρσηνοὶ <δεσμοὶ> ἀντὶ τοῦ Τυρρηνικοί, οἱ χαλεποί, διὰ τὸ ληστρικοὺς εἶναι τοὺς Τυρρηνούς.

255 Κύθηρα· νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. ἐκαλεῖτο δὲ Πορφύρουσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης (fr. 521 Rose = fr. 527 Gigon). οἱ οἰκήτορες Κυθήριοι, καὶ Κυθηρία καὶ ἡ γυνὴ καὶ ἡ νῆσος. λέγεται Κυθηραία.

256 Κύθηρος· δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Κυθήριος. τὰ τοπικὰ Κυθηρόθεν Κυθηρόνδε.

---

254 Str. 12,8,11 (C 575,18) Ἔστι δὲ νῆσος ἐν τῇ Προποντίδι ἡ Κύζικος συναπτομένη γεφύραις δυσὶ πρὸς τὴν ἤπειρον, ἀρετῇ μὲν κρατίστη, μεγέθει δὲ ὅσον πεντακοσίων σταδίων τὴν περίμετρον. ἔχει δὲ ὁμώνυμον πόλιν πρὸς αὐταῖς ταῖς γεφύραις St. Byz. α 434 Ἄρκτων νῆσος· οὕτως ἡ Κύζικος ἐκαλεῖτο, καὶ πόθεν, εἰρήσεται ἐν τῷ περὶ αὐτῆς St. Byz. δ 106 Δολίονες· οἱ τὴν Κύζικον οἰκοῦντες, οὓς Δολιέας εἶπεν Ἑκαταῖος de aequo usu utriusque adiectivi Κυζικηνικός et Κυζικηνός cf. Ar. Pax 1176 βάμμα Κυζικηνικόν, sed βάμμα Κυζικηνόν apud Hsch. β 182 et Suid. β 89 Hsch. τ 1682 Τυρρηνοὶ δεσμοί· οἱ ληστρικοὶ καὶ χαλεποί; Hsch. δ 703 δεσμοὶ Τυρρηνικοί· οἷς ἐχρήσαντο Ἀθηναῖοι; cf. etiam Phot. δ 212, Suid. δ 273 **255** Str. 8,5,1 (C 363,18) πρόκειται δὲ κατὰ ταύτην Κύθηρα ἐν τεσσαράκοντα σταδίοις, νῆσος εὐλίμενος πόλιν ἔχουσα ὁμώνυμον Eust. ad Κ 268 (III 66,6) Τὰ δὲ Κύθηρα νῆσος, φασί, πρὸς τῇ Κρήτῃ, ἔχουσα πόλιν ὁμώνυμον, ἀπό τινος Κυθήρου κληθεῖσαν. ἧς παρώνυμος, ὡς ἀλλαχοῦ δηλοῦται, δοκεῖ εἶναι καὶ ἡ Κυθέρεια. ἱστορεῖται δὲ καὶ Πορφυροῦσσα ἡ τοιαύτη νῆσός ποτε κληθῆναι διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυρῶν; Eust. ad Ο 432 (III 753,2) Κύθηρα δὲ ἐν οὐδετέρῳ γένει νῆσος πρὸς τῇ Κρήτῃ, ὥς φησιν ὁ γράψας τὰ Ἐθνικά, ἥ ποτε καὶ Πορφυροῦσα, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, διὰ τὸ καλλίστας φέρειν πορφύρας. ἐκ ταύτης, ἧς ἡ κλῆσις, εἰ καὶ κατὰ παραφθοράν, ὅμως μέντοι ἕως καὶ ἄρτι φυλάττεται, καὶ ἡ Ἀφροδίτη Κυθέρεια κατὰ τὸν Ἡσιόδου μῦθον (Hes. Th. 198) λέγεται; Eust. D. P. 498 (p. 310,40) Ἐκαλεῖτο δέ, φασί, καὶ Πορφύρουσά ποτε, διὰ τὸ καλλίστας ἔχειν πορφύρας. ὠνόμασται δέ, φασίν, ἀπὸ Κυθήρου τοῦ Φοίνικος Plin. nat. 4,56 *Cythera cum oppido, antea Porphyris appellata* **256** Harp. κ 89 Κυθήριος· Δημοσθένης ἐν τῷ Πρὸς Φαίνιππον (D. 42,5). Κύθηρος δῆμος τῆς Πανδιονίδος, ἀφ' οὗ ὁ δημότης λέγεται Κυθήριος; Hsch. κ 4445; Suid. κ 2631 Sch. T ad Ο 431 Κυθήριον· τινὲς διὰ τῶν δύο ρρ. καὶ τοὺς Κυθηρρίους δημότας Ἀττικῆς φασιν, οὓς μᾶλλον οἰκείους εἶναι Αἴαντι

---

254 1 χερρονήσω RQ: χερο- PN 2–3 Κυζικηνή. {ἡ ποίησις} <Ἀπολλώνιος> Billerbeck: κυζικηνὶς (ex κυζη- R) ἡ ποίησις. RQ, κυζηνὶς ἡ ποίησις PN 4 Ὅμηρος huc transp. Meineke in app.: post ποίησις (lin. 3) habent RQPN 5 Κίκονας Meineke (cf. Eust. ad ι 39 [I 322,22]): κικό- RQPN κυζικηνικὸς Q: κυζικηνὸς R, κυζηνικὸς PN(κη supra νι scr.) 5–6 τῶ … ἁπλῶ PN: τὸ … ἁπλοῦν RQ 6 τοῦ ante κτητικοῦ om. QPN τυρσηνοὶ PN: τρισσηνοὶ RQ δεσμοὶ add. Meineke (cf. Hsch.) ἀντὶ PN: ἀπὸ RQ 7 ληϊστρικοὺς (λησ- R) εἶναι RQ: ληΐζεσθαι PN **255** 1 νῆσος om. R 2 πορφύρουσα R (cf. St. Byz. α 315 adn. 452): πορφύρουσσα QPN 2–3 τῶν περὶ αὐτὴν Meineke (ex Eust.): τὸ περὶ τῶν (ην supra ω scr. R) RQPN 3 πορφυρῶν Xylander: πορφύρων RQPN 4 κυθηραία QPN: κι^{α}θαιρέα R **256** 1 Κύθηρος QPN: Κύθηρρος R 2 Κυθηροῖ post Κυθηρόνδε add. Meineke

254. Kyzikos, Stadt an der Propontis,[362] auf einer Halbinsel gelegen. Diese hiess auch Arkton Nesos (Bäreninsel). Das Ethnikon <lautet> Kyzikener und <im Femininum> Kyzikenerin. Apollonios (Rhodios, 1,947. 952, usw.) hingegen nennt die Bewohner von Kyzikos Dolionen, so wie Homer (Il. 2,846 und 17,73; Od. 9,39. 47, usw.) jene von Ismaros Kikonen <nennt>.[363] Man verwendet zudem als Ktetikon kyzikenisch. Man hat jedoch auch das einfache Κυζικηνός anstelle des Ktetikons (Κυζικηνικός) verwendet, wie <es den Ausdruck> ‚Etrusker Fesseln' anstelle <der Wendung> ‚etruskische Fesseln' gibt, jene schweren <Ketten, die so genannt werden>, weil die Etrusker Seeräuber waren.

255. Kythera, Insel mit gleichnamiger Stadt,[364] bei Kreta <gelegen>, nach Kytheros <benannt>, dem Sohn des Phoinix. <Die Insel> hiess aber auch Porphyrusa wegen der Schönheit der Purpurschnecken, welche es in ihren Küstengewässern gibt, wie Aristoteles (fr. 521 Rose = fr. 527 Gigon) <berichtet>. Die Bewohner <heissen> Kytherier, und Kytherierin <nennt man> die Frau und <ebenso> die Insel (d.h. Kytheria). Man sagt <auch> Κυθηραία (Kytheraia, Kytheraierin).

256. Kytheros, Demos der Phyle Pandionis. Der Demot <heisst> Kytherier. Die Topika <lauten> ‚aus Kytheros' (Κυθηρόθεν), ‚nach Kytheros' (Κυθηρόνδε).[365]

---

[362] Inventory Nr. 747.

[363] Im Anschluss an Berkel nahm Meineke sowohl Anstoss am unverständlichen Ausdruck Κυζικηνὶς ἡ ποίησις als auch am Umstand, dass Homer die Dolionen nicht erwähnt. Bisher wurde ἡ ποίησις (‚die Dichtung') als das Subjekt von φησίν aufgefasst; doch dafür lässt sich innerhalb der *Ethnika* keinerlei Stütze finden. Auch ist die weibliche Form des Ethnikons/ Adjektivs Κυζικηνίς nirgends belegt, während Κυζικηνή (z.B. neben χώρα) einen geläufigen Begriff darstellt, auch bei Stephanos (α 329 und α 457). Ausgangspunkt des gestörten Textes ist der Ausfall des Autornamens, auf welchen sich φησίν bezieht. Die Dolionen als Bewohner von Kyzikos werden mehrfach bei Apollonios Rhodios (1,947. 952. 961, usw.) genannt. Der Beizug der Kikonen, welche Homer (Od. 9,39–59 sowie Il. 2,846 und 17,73) erwähnt, dient offensichtlich allein der sprachlichen Analogie, nämlich Δολίων/Δολίονες und Κίκων/Κίκονες, mit ο geschrieben anstatt mit ω; vgl. Eust. ad ι 39 (II 322,21; Hdn. 2,643,7). Dass Stephanos im verlorenen Artikel Κίκονες (vgl. oben S. 84) Prosodie/Akzent behandelt hat, entnehmen wir dem Referat von Eust. ad Β 846 (I 564,1).

[364] Inventory Nr. 336. Insel und Stadt werden gewöhnlich Κύθηρα genannt. Für die Insel seltener ist die Bezeichnung ἡ Κυθηρία (z.B. X. HG 4,8,7; Tz. H. 1,464). Κυθηραία schliesslich ist weder als Ethnikon noch als Insel- oder Stadtname belegt; Meineke vermutete daher hinter der Korruptel in R (κι^{α}θαιρέα) Κυθέρεια, einen mit der Insel in Zusammenhang gebrachten Beinamen Aphrodites (s. auch Similia).

[365] Zur partiellen Reihung der Topika s. oben Anm. 343 zu κ 238.

392 **257 Κύθνος**· νῆσος πρὸς τῇ Δρυοπίδι, τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. ἐκαλεῖτο καὶ Ὀφιοῦσσα καὶ Δρυοπίς. ὁ νησιώτης Κύθνιος. καὶ Κύθνιος τυρὸς καὶ Κυδίας ὁ ζωγράφος.

5 **258 Κυκνῖτις**· ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ (fr. 495 Radt). καὶ ἐν Ποιμέσι (fr. 499 Radt) „βοὴν Κυκνῖτιν“.

259 Κύλλανδος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 250). τὸ ἐθνικὸν Κυλλανδεύς.

9 **260 Κυλλήνη**· ὄρος Ἀρκαδίας, σταδίων $\overline{θ}$ παρὰ πόδας $\overline{π}$, ἀπὸ Κυλλήνης Ναΐδος νύμφης. ἐν τούτῳ δέ φασι τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δὲ μηδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τὴν δὲ ἡμέραν εἴ τις ἐπιχειροίη δυσθη-
15 ράτους εἶναι σφόδρα. ἔστι δὲ καὶ Ἠλείων ἐπίνειον Κυλλήνη. τὸ ἐθνικὸν 5
Κυλληνεύς καὶ Κυλλήνιος· καὶ Κύλλιος λέγεται Ἑρμῆς κατὰ συγκοπὴν τοῦ Κυλλήνιος.

---

257 de Cythno Cycladum insula cf. Str. 10,5,3 (C 485,28) Ps.-Scyl. 58,1 Κύθνος νῆσος καὶ πόλις Eust. D. P. 525 (p. 318,21) Φασὶ δὲ οἱ παλαιοὶ τὰς Κυκλάδας πλείους εἶναι τῶν $\overline{ιβ}$, ὧν εἰσιν ἡ Κύθνος, ἀφ' ἧς ὁ Κύθνιος λέγεται τυρός, ἐξ ἧς καὶ ζωγράφος ὄνομα ἔχων ὁ Κυδίας de Cythnio caseo cf. Alex. fr. 178,12 Kassel/Austin [PCG II 123], Poll. 6,63 **259** gentile Κυλλάνδιος in IG I[3] 1,259 col. V,20; Κυλλάντιος in IG I[3] 1,262 col. I,32; Κυλάντιος in IG I[3] 1,265 col. I,21 **260** Eust. ad ω 1 (II 311,13) Κυλλήνιος δὲ Ἑρμῆς μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥ τις ὄρος ἐστὶν Ἀρκαδίας σταδίων ἐννέα Ὀλυμπιακῶν παρὰ πόδας ὀγδοήκοντα, καθά φασιν ἱστορεῖν Ἀπολλόδωρον (FGrHist 244 F 130), ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωΐδος τινός; Eust. ad B 603 (I 465,5) Κυλλήνη δὲ οὐ μόνον ὄρος, ὡς εἴρηται, Ἀρκαδίας, ἀλλὰ καὶ πόλις ὁμώνυμος, ἔνθα δοκεῖ τὸν Ἑρμῆν τεκεῖν ἡ τοῦ Ἄτλαντος Μαῖα, ὅθεν καὶ Κυλλήνιος Ἑρμῆς, ἐξ οὗ καὶ Κύλλιος κατὰ συγκοπήν, ὡς ὁ τὰ Ἐθνικὰ γράψας φησίν. ἐκλήθη δὲ Κυλλήνη κατὰ τὸν αὐτὸν ἀπὸ Κυλλήνης Ναΐδος. ἐν τούτῳ φασὶ μόνῳ τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίνεσθαι καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τῆς δ' ἡμέρας δυσθηράτους εἶναι σφόδρα Ps.-Arist. Mir. 831b14 (= 15 Giannini) Ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. τὴν δ' ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι de loco Eleo Th. 1,30,2 καὶ Κυλλήνην τὸ Ἠλείων ἐπίνειον; Str. 8,3,4 (C 337,28) μετὰ δὲ ταύτην ἐστὶν ἐπὶ τὴν ἑσπέραν προϊοῦσι τὸ τῶν Ἠλείων ἐπίνειον ἡ Κυλλήνη ἀνάβασιν ἔχουσα ἐπὶ τὴν νῦν πόλιν ἑκατὸν καὶ εἴκοσι σταδίων

---

257 1 νῆσος QPN: ἡ R Δρυοπίδι Meineke (cf. St. Byz. δ 137): δρυόπιδι RQPN 2 δὲ post ἐκαλεῖτο add. N Ὀφιοῦσσα Billerbeck (cf. St. Byz. α 315 adn. 452): ὀφίουσσα Q, ὀφίονσσα R, ὀφίουσα PN 3 Κυδίας Holste (ex Eust.): κύϑίος RQ, κύϑνιος PN **258** 1 ante ἧς lac. indic. Meineke, qui χώρα Θετταλίας prop. in app. (mon. Holste) ἐν ante Πηλεῖ om. RQ **259** 1 Κύλλανδος R[pc]QP: Κύλ- R[ac]N 2 κυλλανδεύς RQ: κυλ- PN **260** 1 παρὰ RPN: περὶ (per comp.) Q 4 τὴν σελήνην RQ: τῇ σελήνῃ PN τις RPN: τισιν Q 4–5 δυσθηράτους εἶναι σφόδρα R Eust.: σφόδρα δυσ. εἶν. QPN Ps.-Arist. 5 ἠλείων R

257. Kythnos, Insel in der Nähe der Dryopis,[366] zu den Kykladen <gehörig, benannt> nach Kythnos, der <die Insel> besiedelt hat. Sie hiess auch Ophiussa und Dryopis. Der Inselbewohner <heisst> Kythnier, ferner der <berühmte> Kythnier Käse, zudem <Kythnier von Herkunft> Kydias, der Maler.[367]

258. Kyknitis, worüber Kyknos als König geherrscht hat.[368] Sophokles <erwähnt die Landschaft> im *Peleus* (fr. 495 Radt). Und in den *Hirten* (fr. 499 Radt) <erwähnt er> den „Schwanengesang".

259. Kyllandos, Stadt in Karien.[369] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 250). Das Ethnikon <lautet> Kyllandeer.

260. Kyllene, Gebirge in Arkadien <mit einer Höhe> von neun Stadien abzüglich achtzig Fuss, nach Kyllene, einer Quellnymphe, <benannt>. Auf diesem Berg, sagt man, würden die Amseln mit weissem Gefieder geboren, anderswo hingegen nie, und buntes Gezwitscher ertönen lassen. Jagen <könne man sie> bei Mondschein, tagsüber aber, wenn man es dann versuche, seien sie überaus schwer zu fangen.[370] Es gibt auch eine Hafenstadt der Eleier <namens> Kyllene.[371] Das Ethnikon <lautet> Kylleneer und Kyllenier; und Kyllios wird Hermes <mit Beinamen> genannt, durch Verkürzung des <Ethnikons> Kyllenier.[372]

---

[366] Inventory Nr. 501. Mit der Dryopis könnte hier die argolische Akte, wo Stephanos eine Stadt Dryope (δ 137) kennt, gemeint sein; s. O. Strid, Die Dryoper. Eine Untersuchung der Überlieferung. Studia Graeca Upsaliensia 20 (Uppsala 1999) 46, 79–81. Ophiussa und Dryopis als frühere Inselnamen von Kythnos nennt einzig Stephanos, Ὀφιοῦσσα wurden hingegen auch andere Inseln wie Rhodos (St. Byz. 546,12; Str. 14,2,7 [C 653,34]) und Tenos (St. Byz. 621,11) genannt.

[367] Künstlerlexikon 1,433 f. Von Kythnos stammte auch der berühmte Maler Timanthes (vgl. Quint. inst. 2,13,13; s. Künstlerlexikon 2,467), auf welchen G. Lippold (RE XI 2,2303,3 und VI A 1,1231 f.) den in PN überlieferten Ausdruck Κύθνίος ὁ ζωγράφος münzt; zur Bezeichnung des Personennamens durch das Ethnikon vgl. St. Byz. 91,19 Ἀνάζαρβα· … ἀφ' ἧς ἦν Διοσκουρίδης ὁ διασημότατος ἰατρός, χρηματίζων Ἀναζαρβεύς.

[368] Unsicher bleibt, ob hier mit Kyknos der Aressohn gemeint ist, der über das thessalische Amphanai herrschte, oder der Poseidonsohn, König auf Tenedos, auf welchen sich der Todesschrei (‚Schwanengesang') bezieht; zu beiden, mit einer Besprechung der Stephanosstelle, s. Roscher, Lexikon II 1,1690–1697, bes. 1691,57 und 1696,2.

[369] Inventory Nr. 908; Zgusta, Kleinasiatische Ortsnamen § 645–1.

[370] RE XI 2,2454–2457. In der Höhenangabe folgt Stephanos nicht Strabon 8,8,1 (C 388,14), der eine Gebirgshöhe von 20 oder 15 Stadien angibt, sondern offenbar Apollodor, wie Eust. ad ω 1 zu entnehmen ist. Den Bericht über das weisse Federkleid der Amseln übernahm Stephanos fast wörtlich aus Ps.-Arist. Mir. 831b14, wie wir aus Eustathios (zu Il. 2,603) erfahren.

[371] Inventory Nr. 254.

[372] Ein Ethnikon Κυλληνεύς ist sonst nicht belegt; Κυλλήνιος im Zusammenhang mit dem elischen Ort begegnet Il. 15,518; Str. 10,2,14 (C 456,12). Als Beiname des Hermes ist Κυλλήνιος gewöhnlich (z.B. Od. 24,1; h.Merc. 304; Paus. 8,17,1 mit Erwähnung seines Tempels auf dem Gipfel des Gebirges), als verkürzte Form Κύλλιος ist er jedoch nicht belegt; s. Jost, Sanctuaires et cultes d'Arcadie 444 f.

261 Κύμη· πόλις Αἰολίδος πρὸ τῆς Λέσβου, ἀπὸ Κύμης Ἀμαζόνος. ἐκαλεῖτο δὲ Ἀμαζόνιον. τὸ ἐθνικὸν Κυμαῖος. ἐντεῦθεν ἦν Ἔφορος ὁ ἱστο-
20 ρικὸς καὶ Ἡσίοδος Κυμαῖοι. ἔστι δὲ καὶ ἑτέρα Φρικωνῖτις λεγομένη. αὕτη δὲ καὶ ἡ Λέσβος σκώπτεται εἰς ἀναισθησίαν. ἔστι δὲ καὶ ἑτέρα Ἰταλίας.
393 ταύτης τὸ ἐθνικὸν Κυμεύς. δ̄ τῆς Ἠλείας. ε̄ τῆς Εὐβοίας. ϛ̄ Παμφυλίας. 5
ἔστι καὶ νῆσος πλησίον Σικελίας.

262 Κύναιθα· πόλις Ἀρκαδίας, ἀπὸ Κυναίθου ἑνὸς τῶν Λυκάονος
5 παίδων. τὸ ἐθνικὸν Κυναιθεύς. καὶ Κυναιθαιεύς καὶ Κυναιθαεύς ἀπὸ τοῦ τετρασυλλάβου τοῦ Κυναίθαια. ἔστι καὶ Κύναιθα πόλις Ἰθάκης ὑπὸ τῷ Νηρίτῳ ὄρει.

---

261 Str. 13,3,6 (C 622,16) Μεγίστη δέ ἐστι τῶν Αἰολικῶν καὶ ἀρίστη Κύμη, καὶ σχεδὸν μητρόπολις αὕτη τε καὶ ἡ Λέσβος τῶν ἄλλων πόλεων, περὶ τριακοντά που τὸν ἀριθμόν (ὧν ἐκλελοίπασιν οὐκ ὀλίγαι). σκώπτεται δ' εἰς ἀναισθησίαν ἡ Κύμη κατὰ τοιαύτην τινά, ὥς φασιν ἔνιοι, δόξαν, ὅτι τριακοσίοις ἔτεσιν ὕστερον τῆς κτίσεως ἀπέδοντο τοῦ λιμένος τὰ τέλη, πρότερον δ' οὐκ ἐκαρποῦτο τὴν πρόσοδον ταύτην ὁ δῆμος· κατέσχεν οὖν δόξα ὡς ὀψὲ ᾐσθημένων ὅτι ἐπὶ θαλάττῃ πόλιν οἰκοῖεν. ἔστι δὲ καὶ ἄλλος λόγος … (C 622,28) ἀνὴρ δ' ἄξιος μνήμης ἐκ τῆσδε τῆς πόλεως ἀναντιλέκτως μέν ἐστιν Ἔφορος, τῶν Ἰσοκράτους γνωρίμων τοῦ ῥήτορος, ὁ τὴν Ἱστορίαν συγγράψας καὶ τὰ Περὶ τῶν εὑρημάτων, καὶ ἔτι πρότερος τούτου Ἡσίοδος ὁ ποιητής (αὐτὸς γὰρ εἴρηκεν ὅτι ὁ πατὴρ αὐτοῦ Δῖος μετῴκησεν εἰς Βοιωτούς „Κύμην Αἰολίδα προλιπών" [Hes. Op. 636] …) … . τὸ δ' ὄνομα ἀπὸ Ἀμαζόνος τῇ πόλει τεθεῖσθαι St. Byz. α 245 Ἀμαζόνειον· … οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη, ἐν ᾗ αἱ Ἀμαζόνες ᾤκουν. Ἑκαταῖος δ' ἐν τοῖς Αἰολικοῖς (FGrHist 1 F 226) διὰ τοῦ ι γράφει τὸ ὄνομα; Eust. D. P. 828 (p. 363,1) Ὅτι δὲ αἱ Ἀμαζόνες πολλοὺς ἐν Ἀσίᾳ κατέσχον τόπους ποτέ, δηλοῦσι καὶ κρῆναί τινες Ἀμαζόνων ὁμώνυμοι, ναὶ μὴν καὶ πόλεις, οἷον ἡ Ἔφεσος αὕτη, ἡ Ἀναία, ἡ Μύρινα, ἡ Αἰολικὴ Κύμη Hdt. 1,149 Αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι, αἵδε δὲ <αἱ> Αἰολίδες, Κύμη ἡ Φρικωνὶς καλεομένη, …; Str. 13,1,3 (C 582,28) τὴν Κύμην τὴν Φρικωνίδα κληθεῖσαν, similiter 13,3,3 (C 621,9) de Campaniae Cumis cf. Str. 5,4,4 (C 243,12) ταύταις δ' ἐφεξῆς ἐστι Κύμη, Χαλκιδέων καὶ Κυμαίων παλαιότατον κτίσμα· πασῶν γάρ ἐστι πρεσβυτάτη τῶν τε Σικελικῶν καὶ τῶν Ἰταλιωτίδων EM 545,13 Κύμη· πόλις Ἰταλίας, ἀπό τινος Κύμης βασιλίδος, ἥτις ἐκράτει τὸν τόπον. οἱ δέ, ἀπὸ ἐγκύμονος γυναικὸς οὕτως ὠνομᾶσθαι τὸν τόπον· οἱ δέ, διὰ τὸ πολυκύματον αὐτὴν εἶναι gentile Κυμεύς non invenitur, sed solum Κυμαῖος, e.g. Str. 5,4,4 (C 243,13); Plb. 3,91,4; D. S. 12,76,4 de insula Siciliae vicina cf. Sch. Pi. P. 1,34a ταί θ' ὑπὲρ Κύμας· Κύμη νῆσος παρακειμένη τῇ Σικελίᾳ **262** Str. 8,8,2 (C 388,29) καὶ αὕτη (sc. Μαντίνεια) δὲ καὶ Ὀρχομενὸς καὶ Ἡραία καὶ Κλείτωρ καὶ Φενεὸς καὶ Στύμφαλος καὶ Μαίναλος καὶ Μεθύδριον καὶ Καφυεῖς καὶ Κύναιθα ἢ οὐκέτ' εἰσὶν ἢ μόλις αὐτῶν ἴχνη φαίνεται καὶ σημεῖα; Plb. 4,17,3. 18,10 etc. Apollod. 3,8,1 τούτου (sc. Πελασγοῦ) καὶ τῆς Ὠκεανοῦ θυγατρὸς Μελιβοίας, ἢ καθάπερ ἄλλοι λέγουσι νύμφης Κυλλήνης, παῖς Λυκάων ἐγένετο, ὃς βασιλεύων Ἀρκάδων ἐκ πολλῶν γυναικῶν πεντήκοντα παῖδας ἐγέννησε· … Κύναιθον gentile Κυναιθεύς apud Plb. 4,16,11. 17,4 etc.; Lyc. 400 cum Sch. ad loc.; Ath. 14,626e; gentile Κυναιθαεύς apud Paus. 5,22,1; 8,19,1. 3

---

261 1 Κύμη R^pc Q^pc P^pc N: Κύλλη R^ac Q^ac P^ac ἀμαζόνος R^pc QPN: -όνες R^ac 2 ἀμαζόνιον RQPN (cf. St. Byz. 80,24): Ἀμαζόνειον Meineke 3 Κυμαῖοι om. PN δὲ om. R φρικωνῖτις Q^pc PN: φροκωνῖτις Q^ac, φοινικωνῖτις R αὕτη PN: αὐτὴ RQ 4 σκώπτεται QPN: κώπτ- R 5 τῆς ante Ἠλείας om. PN ϛ̄ R: καὶ QPN παμφυλίας QPN: -λία R **262** 1 ἀπὸ PN: ὑπὸ RQ 2 κυναιθαιεύς QPN: -θεεύς R 3 Κυναίθαια Meineke: κυναίθεια RQPN 3–4 Ἰθάκης … Νηρίτῳ Holste: θράκης … νηρίσω RQPN

261. Kyme, Stadt in der Aiolis,[373] Lesbos gegenüber, nach Kyme, einer Amazone, <benannt>. <Die Stadt> hiess denn auch <früher> Amazonion. Das Ethnikon <lautet> Kymaier. Von dort stammten der Historiker Ephoros und <der Dichter> Hesiod, <beide als> Kymaier <bezeichnet>. Es gibt aber auch ein weiteres <Kyme>, Phrikonitis genannt. Dieses <Kyme> und Lesbos werden wegen der Stumpfheit <ihrer Bewohner> verspottet. Und es gibt noch ein weiteres <Kyme> in Italien.[374] Das Ethnikon zu dieser <Stadt lautet> Kymeer. Ein viertes <Kyme liegt> in Elis, ein fünftes auf Euboia, ein sechstes in Pamphylien.[375] Es gibt auch eine Insel <dieses Namens> in der Nähe von Sizilien.[376]

262. Kynaitha, Stadt in Arkadien,[377] <benannt> nach Kynaithos, einem von den Söhnen des Lykaon. Das Ethnikon <lautet> Kynaitheer. Und Kynaithaieer und Kynaithaeer <kommen> von der viersilbigen <Namensform> Kynaithaia.[378] Es gibt auch Kynaitha, eine Stadt auf Ithaka, am Fuss des Berges Neriton <gelegen>.[379]

---

[373] Inventory Nr. 817. Strabons Beschreibung von Kyme (s. Similia) steht hinter den knappen Angaben der Epitome; dem Epitomator ist wohl der Irrtum zuzuschreiben, dass die für Kyme geläufigere Bezeichnung Phrikonis (vgl. auch unten λ 45) mit einem weiteren Kyme in Verbindung gebracht wird.

[374] Inventory Nr. 57; BTCGI 7,7–42.

[375] Von den drei ansonsten nicht belegten Orten hat man sich besonders mit jenem auf Euboia auseinandergesetzt; dazu DNP 6,966 Nr. 1, ablehnend hingegen K. Brodersen, The ‚urban myth' of Euboean Cyme: A study in lexicographical tradition, AHB 15 (2001) 25–28 und zuletzt G. Ragone, Cuma eolica, in: Cuma. Atti del quarantottesimo convegno di studi sulla Magna Grecia (Taranto 2009) 39–71, hier 43–48, der alle drei Orte bei Stephanos auf fehlerhaftes Exzerpieren zurückführt.

[376] Zu einem sizilischen Kyme, mit Diskussion von St. Byz. 684,8–9, s. BTCGI 7,43 f.

[377] Inventory Nr. 278.

[378] Das in den Hss RQPN einhellig überlieferte Κυναίθεια, von dem die Ethnika Κυναιθαιεύς und Κυναιθαεύς abgeleitet werden, ist nicht haltbar, da Toponyme auf -εια das Ethnikon auf -εύς bilden (vgl. St. Byz. α 20, α 26, α 64, α 114, usw.). Ethnika auf -αιεύς leiten sich von Toponymen auf -αια ab (vgl. St. Byz. α 119, α 293, δ 97, ε 173, η 18, λ 65, μ 63, μ 132, usw.); Meinekes Verbesserung Κυναίθαια drängt sich daher auf.

[379] Ausgangspunkt für Holstes Konjektur Ἰθάκης ὑπὸ τῷ Νηρίτῳ ὄρει ist die Korruptel Νηρίσῳ, doch ist über einen Ort Kynaitha auf Ithaka nichts bekannt.

263 Κυνέτεια· πόλις Ἄργους. Καλλίμαχος β̅ (Aet. fr. 50 Harder = fr. 50 Pfeiffer). οἱ πολῖται Κυνετεῖς καὶ Κυνετειᾶται. οἱ τύποι γὰρ οὐκ ἀήθεις τῶν Ἀργείων.

264 Κυνή· πόλις Λυδίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 237). τὸ ἐθνικὸν Κυνεύς καὶ Κύνιος.

265 Κυνητικόν· Ἰβηρίας τόπος πλησίον Ὠκεανοῦ. Ἡρόδωρος ι̅ τῶν καθ' Ἡρακλέα (FGrHist 31 F 2b). οἱ οἰκοῦντες Κύνητες καὶ Κυνήσιοι.

266 Κύνθος· <***> παρ' Ἀντιμάχῳ ἐν α̅ Θηβαΐδος (fr. 12 Matthews = fr. 12 Wyss). ὁ οἰκήτωρ Κύνθιος καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ Κυνθιώτης καὶ Κυνθιῶτις θηλυκῶς.

267 Κύννα· πολίχνιον πλησίον Ἡρακλείας, ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ἢ Κύννου τοῦ ἀδελφοῦ Κοίου. τὸ ἐθνικὸν Κυνναῖος.

268 Κῦνος· ἐπίνειον Ὀποῦντος, ὡς Φίλων (FGrHist 790 F 39) καὶ Παυσανίας (10,1,2). Ἑκαταῖος (FGrHist 1 F 131) δὲ πόλιν αὐτήν φησιν. Ὅμηρος (B 531) „οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε". οἱ οἰκοῦντες Κύνιοι καὶ Κυναῖοι.

---

263 de gentilis formis cf. St. Byz. α 291 Ἀμφιγένεια· πόλις Μεσσηνιακή … . τὸ ἐθνικὸν Ἀμφιγενειάτης διὰ τὸν Πελοποννήσιον χαρακτῆρα ἢ καὶ Ἀμφιγενεύς **265** Const. Porph. Admin. imp. 23 (= St. Byz. ι 19a) Ταύτης (sc. τῆς Ἰβηρίας) δὲ πολλά φασιν ἔθνη διαιρεῖσθαι, καθάπερ Ἡρόδωρος ἐν τῇ ι̅ τῶν καθ' Ἡρακλέα γέγραφεν ἱστορῶν (FGrHist 31 F 2a = fr. 2 Fowler) οὕτως „τὸ δὲ Ἰβηρικὸν γένος τοῦτο, ὅπερ φημὶ οἰκεῖν τὰ παράλια τοῦ διάπλου, διώρισται ὀνόμασιν ἓν γένος ἐὸν κατὰ φῦλα· πρῶτον μὲν οἱ ἐπὶ τοῖς ἐσχάτοις οἰκοῦντες τὰ πρὸς δυσμέων Κύνητες ὀνομάζονται, ἀπ' ἐκείνων δὲ ἤδη πρὸς βορέαν ἰόντι Γλῆτες, μετὰ δὲ Ταρτήσιοι …"; St. Byz. γ 85 Γλῆτες· ἔθνος Ἰβηρικὸν μετὰ τοὺς Κύνητας, Ἡρόδωρος ι̅ (FGrHist 31 F 2c) Hdt. 4,49,3 ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴστρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ, sed Hdt. 2,33,3 οἱ δὲ Κελτοί εἰσι ἔξω Ἡρακλέων στηλέων, ὁμουρέουσι δὲ Κυνησίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων Avien. ora 200 *inde Cempsis adiacent | populi Cynetum: tum Cyneticum iugum*, … et 566 *litoris Cynetici* **266** St. Byz. δ 61 Δῆλος· νῆσος μία τῶν Κυκλάδων … . ἐκαλεῖτο δὲ Κύνθος ἀπὸ Κύνθου τοῦ Ὠκεανοῦ, καὶ Ἀπόλλων Κύνθιος h.Ap. 26 Κύνθου ὄρος; Str. 10,5,2 (C 485,4) Ἡ μὲν οὖν Δῆλος ἐν πεδίῳ κειμένην ἔχει τὴν πόλιν καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καὶ τὸ Λητῷον· ὑπέρκειται δὲ τῆς πόλεως ὄρος ψιλὸν ὁ Κύνθος καὶ τραχύ Ar. Nu. 596 Κυνθίαν … πέτραν cum Sch. ad loc. ἔστι δὲ ὄρος Δήλου ἡ Κύνθος Lyc. 574 Κυνθίαν … σκοπὴν cum Sch. ad loc. Κύνθος ὄρος Δήλου, ὅθεν καὶ ὁ Ἀπόλλων Κύνθιος καλεῖται Plin. nat. 4,66 *hanc* (sc. Delon) *Aristoteles ita appellatam tradit …, Aglaosthenes Cynthiam, alii Ortygiam, Asteriam, Lagiam, Chlamydiam, Cynthum* (Matthews, *cynethum* codd.)*, Pyrpylen igne ibi primum reperto. cingitur V passuum, adsurgit Cynthio monte* **268** Paus. 10,1,2 … ὑπὲρ δὲ Ὑάμπολιν καὶ Ἄβας οἱ πόλιν τε Ὀποῦντα καὶ Ὀπουντίων ἐπίνειον νεμόμενοι Κῦνον; Str. 9,4,2 (C 425,22) Κῦνος (Eust., κύνος codd.) δ' ἐστὶ τὸ ἐπίνειον; Liv. 28,6,12 (*emporium*) Ps.-Scyl. 60 πόλεις αἵδε· Λάρυμνα, Κῦνος, Ὀποῦς (Gronovius, κυνοσοῦρος cod.), Ἀλόπη; Plin. nat. 4,27 (*oppidum*)

---

263 2 πολῖται RQ: -ίται PN κυνετεῖς R^{pc}QPN: κυναιτεῖς R^{ac} κυνετειᾶται R: κυνετιᾶται Q, κυνετιάται PN **264** 2 κύνιος QPN: κύνειος R **266** 1 Κύνθος RPN: Κῦνθος Q lac. indic. C.A.G. Schellenberg (Antimachi Colophonii reliquiae [1786] 57): <ὄρος Δήλου> Berkel (e Sch. Lyc. 574b), <ἡ Δῆλος> Matthews 2–3 κυνθιώτης – θηλυκῶς QPN: κυνθιῶτις καὶ κυνθιωτισθῆναι R **268** 1 ἐπίνειον RPN: ἐπίγειον Q 3 κῦνον R: κύνον Q, κύνετόν PN ἐνέμοντ' R: ἐνέμοντο Q, om. PN ὀπόεντά QPN: ὀπόεντατά R

263. Kyneteia, Stadt im Gebiet von Argos.[380] Kallimachos <erwähnt sie> im zweiten Buch <der *Aitia*> (Aet. fr. 50 Harder = fr. 50 Pfeiffer). Die Bürger <heissen> Kyneteer und Kyneteiaten. Die <beiden> Bildungstypen sind nämlich nicht ungewöhnlich bei den Argivern.

264. Kyne, Stadt in Lydien. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 237). Das Ethnikon <lautet> Kyneer und Kynier.[381]

265. Kynetikon, Gegend auf der Iberischen Halbinsel,[382] in der Nähe des <Atlantischen> Ozeans. Herodoros <erwähnt die Gegend> im zehnten Buch seiner *Heraklesgeschichte* (FGrHist 31 F 2b). Die Bewohner <heissen> Kyneten und Kynesier.

266. Kynthos, <***>,[383] bei Antimachos im ersten Buch der *Thebais* (fr. 12 Matthews = fr. 12 Wyss) <erwähnt>. Der Bewohner <heisst> Kynthier und im Femininum <Kynthierin (Κυνθία)> und im Neutrum <das Kynthische (Κύνθιον)>. <Das Ethnikon lautet> auch Kynthiot und Kynthiotidin im Femininum.

267. Kynna, Kleinstädtchen in der Nähe <der Stadt> Herakleia,[384] <benannt> nach einer der Amazonen oder nach Kynnos, dem Bruder des Koios. Das Ethnikon <lautet> Kynnaier.

268. Kynos, Hafen <der lokrischen Stadt> Opus,[385] wie (Herennios) Philon (FGrHist 790 F 39) und Pausanias (10,1,2) <angeben>. Hekataios (FGrHist 1 F 131) bezeichnet die Örtlichkeit hingegen als Stadt. Homer (Il. 2,531) <sagt>: „Jene, welche Kynos bewohnten und Opus und Kalliaros". Die Bewohner <heissen> Kynier und Kynaier.

---

[380] Inventory S. 600 Anm. 1; s. auch K. Fabian, Callimaco, Aitia II (Alessandria 1992) 293.

[381] Zgusta, Kleinasiatische Ortsnamen § 648. Die Lesart Κύνιος (QPN) entspricht dem üblichen Ableitungstypus der Ethnika bei Ortsnamen auf -νη (κ 241, μ 162, usw.); seltener ist die in R überlieferte Bildung auf -ειος (ε 44).

[382] Zu Gegend und Volk, auch Κόνιοι (Plb. 10,7,5) und Κούνεοι (App. Hisp. 289) genannt, s. Tovar, Völker und Städte 2,193 f.

[383] Umfang und Inhalt des ausgefallenen Textes lassen sich nicht sicher bestimmen. Berkels Ergänzung ὄρος Δήλου kann sich auf Sch. Lyc. 574 abstützen. Doch gibt Matthews (S. 106 f., im Anschluss an B. Wyss) zu bedenken, dass für den wohlbekannten delischen Berg Kynthos kaum der gelehrte Dichter Antimachos als Quellenautor zu bemühen war. Hingegen könnte wohl die Metonomasie für die gesamte Insel Delos auf ihn zurückgehen, so auch St. Byz. δ 61, Plin. nat 4,66 (s. Similia).

[384] TIB 9,245. Zur Amazone Kynna und dem Titanen Kynnes s. Roscher, Lexikon II 1,1705.

[385] Inventory Nr. 382. Zur Stadt und ihrem Verhältnis zu Opus s. Visser, Homers Katalog der Schiffe 399 f.

269 Κυνόσαργες· γυμνάσιον ἐν τῇ Ἀττικῇ καὶ δῆμος, ἀπὸ Διόμου, ἀφ' οὗ ὁ χῶρος Ἀθήνησι Διόμεια καλεῖται. Δίομος γὰρ Ἡρακλεῖ ὡς θεῷ θύων τὰ ξενώσων ἱερὰ Ἡρακλεῖ ἥρῳ ἔδειξε, καὶ αὐτῷ κύων λευκὸς ἁρπάσας τὰ μηρία εἰς τοῦτο τὸ χωρίον ἤνεγκεν. ὁ δημότης καὶ τὸ ἐκ τόπου ἐκ Κυνοσάργους, καὶ εἰς τόπον ἐς Κυνόσαργες, καὶ ἐν τόπῳ ἐν Κυνοσάργει.

270 Κυνὸς κεφαλαί· λόφοι τῆς Θεσσαλίας. Πολύβιος ιη̅ (18,22,9). ἦν δὲ καὶ χωρίον Θηβῶν, ἀφ' οὗ „Πίνδαρος Δαϊφάντου παῖς, Βοιώτιος ἐκ Κυνὸς κεφαλῶν, μελῶν ποιητής".

271 Κυνόσουρα· ἄκρα Ἀρκαδίας, ἀπὸ Κυνοσούρου τοῦ Ἑρμοῦ. τὸ ἐθνικὸν Κυνοσουρεύς καὶ Κυνοσουρίς θηλυκόν.

272 Κυνόσσημα· τόπος Λιβύης. Ἑκαταῖος Περιηγήσει αὐτῆς (FGrHist 1 F 329). ἔστι καὶ ἄλλο χωρίον. τὸ ἐθνικὸν ἀπὸ τῆς γενικῆς Κυνοσσηματεύς.

---

269 St. Byz. δ 86 Διόμεια· οὐδετέρως, δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Διομιεύς. Ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ Κολύττῳ ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. οὗ ἀποθεω<θέντος ***> Hsch. κ 4609 Κυνόσαργες· τόπος ἱερός. ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. Διόμου φασὶ θύοντος Ἡρακλεῖ, κύων ἁρπάσας τὰ μηρία ἔφευγε διωκόμενος. ἐκλήθη δὲ ὁ τόπος οὕτως, ἢ ἀπὸ τῆς λευκότητος τοῦ κυνός, ἢ τοῦ τάχους Paus. Gr. ε 18 Erbse εἰς Κυνόσαργες· εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος. †καὶ† γὰρ Ἡρακλεῖ θύοντος κύνα λευκὸν ἢ ταχὺν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι. καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρῦσαι <ἐν ἐκείνῳ> τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμᾶτο; cf. etiam Sch. D. 24,231, Phot. κ 1214, Suid. κ 2721 ἐκ Κυνοσάργους apud D. 24,114; εἰς Κυνόσαργες apud D. 23,213, Plu. Them. 1,3; ἐν Κυνοσάργεϊ apud Hdt. 5,63,4; 6,116 **270** Plb. 18,22,9 οἱ γὰρ προειρημένοι λόφοι καλοῦνται μὲν Κυνὸς Κεφαλαί, τραχεῖς δ' εἰσὶ καὶ περικεκλασμένοι καὶ πρὸς ὕψος ἱκανὸν ἀνατείνοντες; Plu. Pel. 32,3 ἀντιτεινόντων δὲ πρὸς τὸ μέσον κατὰ τὰς καλουμένας Κυνὸς κεφαλὰς λόφων περικλινῶν καὶ ὑψηλῶν; Plu. Flam. 8,2; cf. etiam Str. 9,5,20 (C 441,32) ἔστι δ' ἐν τῇ Σκοτούσσῃ χωρίον τι Κυνὸς κεφαλαὶ καλούμενον de loco Thebano X. HG 5,4,15 ἐπεὶ δὲ (sc. Κλεόμβροτος) εἰς Θεσπιὰς ἀφίκετο, ἐκεῖθεν ὁρμηθεὶς εἰς Κυνὸς κεφαλὰς οὔσας Θηβαίων ἐστρατοπεδεύσατο Pi. Vit. Ambr. (I 1,1 Drachmann) Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοκεφάλων· κώμη δέ ἐστι Θηβαϊκή; Pi. Vit. Thom. (I 4,11 Drachmann) ἀπὸ κώμης Κυνοκεφάλων; Eust. Pi. 25 (III 296,13 Drachmann) οἱ Κυνοκέφαλοι **271** Stat. Theb. 4,295 *Cynosura* cum Sch. ad loc. *locus Arcadiae* St. Byz. 499,4 Παναίουρα· … . τὸ ἐθνικὸν Παναιουρεύς, καθ' ὁμοιότητα τοῦ Κύνουρα Κυνουρεύς, Κυνόσουρα Κυνοσουρεύς

---

308 Eust. D. P. 591 (p. 330,38) Κωλιὰς δὲ ἡ Ἀφροδίτη ἢ ἀπὸ τόπου Ἀττικοῦ, ὅπου τὰ Περσικὰ συνέπεσον ναυάγια, περὶ ὧν χρησμὸς τοιοῦτος ἐξέπεσε· „Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖς φρίξουσιν". ὁ δὲ τοιοῦτος Ἀττικὸς τόπος ὅμοιός ἐστι, φασίν, ἀνθρώπου κώλῳ. δηλαδὴ τῷ κατὰ τοὺς πόδας, ἐκκείμενος εἰς θάλασσαν, ἔχων Ἀφροδίτης ἱερόν, Κωλιάδος καλουμένης ἐκ τῆς τοῦ τόπου ὁμοιότητος. ἕτεροι δὲ Κωλιάδα φασὶ κληθῆναι ἀπὸ τόπου εἰς ὃν ζώου κωλῆν ἀπέθετο ὄρνις ἔκ τινος θυσίας ἁρπάσας. μέρος δὲ ποδὸς ἐμπροσθίου ἡ κωλῆ, καὶ περισπᾶται ἀπὸ συναιρέσεως, ὥσπερ γαλέα γαλῆ, οὕτω καὶ κωλέα κωλῆ. οἱ δέ φασιν ὅτι Ἀθηναίους ἐληΐσαντό ποτε οἱ Τυρρηνοί, μεγάλα συνιστῶντες πειρατήρια. γυνὴ δὲ Τυρρηνὶς διατεθεῖσα φιλίως περί τινα τῶν Ἀττικῶν αἰχμαλώτων ἀφῆκε λύσασα. ὁ δὲ ἵδρυσε φυγὼν Κωλιάδος Ἀφροδίτης ἱερόν, ὡς δι' αὐτὴν τὰ κῶλα λυθείς   gentile Κωλιεύς apud Hsch. κ 4817; Κωλιάς apud Hdt. 8,96,2 (Κωλιάδες γυναῖκες); Κώλιοι apud Sch. Ar. Lys. 2b, cf. etiam Suid. κ 2239   **309** Hippol. Chron. 79 (p. 14,1 Helm) Ταῦτα δὲ τὰ τοῦ Ἰάφεθ ἔθνη ἀπὸ Μηδίας ἕως τοῦ ἑσπερίου κατέσπαρται ὠκεανοῦ βλέποντα πρὸς βορρᾶν· … Κῶλοι … Κωλική apud Ps.-Scymn. fr. 20 Marcotte (= Anon. Peripl. M. Eux. 3B [9v10 Diller]); Plin. nat. 6,15 *regio Colica*   **310** Suid. κ 2258 Κώμη· εἰς ἣν ἐκοιμῶντο ἀπὸ τῶν ἔργων ἀνιόντες· ἢ χώμη, οἷον ἀνάχωμά τι· κατὰ σύγκρισιν τοῦ ἐδάφους. καὶ κωμῆται, οἱ τῆς κώμης οἰκήτορες; Zonar. p. 1276 Κώμη· ἡ πόλις. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, κώμη. ὡς ἂν εἴποι τις κωμητήρια καὶ ἀναπαύσεις ζώων τε καὶ ἀνθρώπων ἀπὸ τῶν ἔργων   Phot. ε 74 ἐγκώμιον· ἔνδημον· κώμη γὰρ τὰ τοῦ δήμου συστήματα; Suid. ε 116

---

308 1 ἀκτὴ Φαληροῖ Meineke: φαληροῖ ἀκτὴ RQPN   2 <οὕτως> καλεῖται Berkel, <ὀρθῶς> κ. Meineke   ἐκκείμενος R^pc Eust.: ἐγκείμενος R^ac QPN   καὶ ὅμοιος Berkel (ὅμοιος iam Ald.): ὁμοίως δὲ RQPN   3 κωλιᾶθεν RQ: κωλιάθεν PN   κωλιοὶ Q   **309** 2 καυ^κά^σω R   **310** 1 πρὸς τῶ R   2 ἐπιγινομένης N   ὡς RPN: lac. 2 litt. indic. om. Q   4 γένοιτο RQPN: γένηται Hes. codd.   κωμήτης R: -ίτης QPN   6 κοιμᾶσθαί τε καὶ αὐλίζεσθαι om. R

308. Kolias, Vorgebirge oder vielmehr Kap beim <Hafen> Phaleron, wo auch Aphrodite Kolias <verehrt wird>. Der Ort hat <von der folgenden Gegebenheit> den Namen: Er ragt nämlich <ins Meer> hinaus und ähnelt einem menschlichen Glied.[438] Die Topika <lauten> ‚vom <Kap> Kolias' (Κωλιᾶθεν), ‚auf dem <Kap> Kolias' (Κωλιοῖ) als Ortsadverb und ‚nach dem <Kap> Kolias' (Κωλιάδε). Das Ethnikon <lautet> Kolieer, woher auch das <Femininum> Koliadin <rührt>. Und Kolion ist das Neutrum. <Die Anwohner des Vorgebirges heissen auch> Kolier, <gebildet> wie Sunier.

309. Koler, Volk <mit Wohnsitz> beim Kaukasos. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 209). Die Gegenden am Fuss des Kaukasos heissen Kolische Berge. Das Land <der Koler nennt man> das kolische.

310. Kome (Dorf): An den langen Wegen <über Land> hat man Ortschaften in der Mitte <der Streckenabschnitte> gegründet, um nach Einbruch der Nacht zu schlafen (κοιμᾶσθαι), wovon auch die Bezeichnung <κώμη (‚Dorf')> kommt, wie Philoxenos (fr. 132 Theodoridis) <erklärt>. Der Bewohner ist der ἐγκώμιος (‚Dörfler'). <So sagt> Hesiod (Op. 344): „Stösst dir nämlich im Dorf ein Unglück zu, <kommen die Nachbarn schnell, ohne sich vorher noch zu gürten>". Ferner <verwendet man> κωμαῖος und κωμήτης (‚Dorfbewohner') im Maskulinum, und im Femininum <wird die Form> mit ι gebildet (d. h. κωμῆτις). Auch der Demos ist ein Dorf. Man hat <das Dorf> danach benannt, dass man darin schläft (κοιμᾶσθαι) und Halt macht. <Der Dorfbewohner> heisst auch κωμήτωρ.[439]

---

[438] Die Örtlichkeit Kolias bezeichnete man sowohl als ἄκρα (Paus. 1,1,5; Sch. D. 59,3; Suid. κ 1939) wie auch als ἀκτή (Sch. Paus. 1,1,5; Hsch. κ 4815). Die Wendung ὁ δὲ τόπος καλεῖται· ἐκκείμενος γάρ ἐστιν … hinterlässt den Eindruck, dass der ursprüngliche Text stark gekürzt wurde. Er könnte, nebst der Etymologie aus der Ähnlichkeit mit einem menschlichen Glied (vgl. Harp. κ 103; Hsch. κ 4816; Phot. κ 1300; Suid. κ 2239; Eust. D. P. 591), weitere Erklärungen für den Ortsnamen (vgl. Sch. Ar. Nu. 52 f. 52g; Suid. κ 2240; Eust. D. P. 591; EM 550,41) enthalten haben.

[439] Zum Begriff κώμη s. M.H. Hansen, *Kome.* A study in how the Greeks designated and classified settlements which were not *Poleis*, in: M.H. Hansen/K. Raaflaub (Hg.), Studies in the Ancient Greek *Polis.* Historia Einzelschriften 95 (Stuttgart 1995) 45–81; Schuler, Ländliche Siedlungen 22–32. Die etymologisierende Erklärung des Begriffs an Anfang und Ende des Artikels lassen auf starke Kürzung schliessen. Die *varia lectio* ἐγκώμιον im Hesiodzitat (s. West ad loc.) stützt die einheitliche Überlieferung hier; das Adjektiv ἐγκώμιος in dieser Bedeutung ist indes kaum belegt (Suid. ε 116; Phot. ε 74). Ähnlich verhält es sich für κωμαῖος (Herm. Hist. FHG II 80 F 2; Hist. Alex. Magn. recens. α 1,31,8 [p. 30,14 Kroll]) und κωμῆτις (Suid. κ 2263; Hsch. κ 4837; Phot. κ 1311), während κωμήτης geläufig ist (e.g. Pl. Lg. 6,762a6; X. An. 4,5,24). Die Form κωμήτωρ schliesslich findet sich nur bei Stephanos.

6 **311 Κωνώπη**· πόλις Ἀκαρνανίας. Πολύβιος ε̅ (5,6,6 etc.). τὸ ἐθνικὸν Κωνωπεύς καὶ Κωνωπίτης καὶ Κωνωπαῖος. ἔστι καὶ Κωνώπιον τῆς Μαιώτιδος λίμνης, ὅπου φασὶ τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν· ἐὰν δὲ ὑπολάβωσιν ἀδικεῖ-
10 σθαι, λυμαίνεσθαι καὶ τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν. τὸ ἐθνικὸν Κωνώ- 5
πιος καὶ Κωνωπιεύς.

312 Κῶπαι· πόλις Βοιωτιακή. Ὅμηρος (Β 502) „Κώπας Εὔτρησίν τε“. ἀπὸ Κωπέως τοῦ Πλαταιέως τοῦ Ὀγχηστοῦ τοῦ Ποσειδῶνος. ὁ πολίτης Κωπαΐτης, ὡς Ἐπαφρόδιτος (fr. 18 Braswell/Billerbeck = fr. 19
15 Lünzner). ἔστι δὲ ἀπὸ τοῦ Κωπαῖος, ὡς Ἀθηναῖος Ἀθηναΐτης, λέγεται καὶ Κωπαία λίμνη. καὶ Κωπαιεύς, καὶ ἡ λίμνη Κωπαΐς, ἣ ἐλέγετο 5
Λευκωνίς.

---

311 Str. 10,2,22 (C 460,20) … Ἀρσινόης πόλεως, ἣ κώμη μὲν ἦν πρότερον καλουμένη Κωνώπα, κτίσμα δ’ ὑπῆρξεν Ἀρσινόης τῆς Πτολεμαίου τοῦ δευτέρου γυναικὸς ἅμα καὶ ἀδελφῆς, εὐφυῶς ἐπικειμένη πως τῇ τοῦ Ἀχελῴου διαβάσει   Κωνώπιον apud Menipp. Peripl. 6017 Diller, Anon. Peripl. M. Eux. 26 (8v46 Diller), sed Κωνωπεῖον apud Arr. Peripl. M. Eux. 15,2   Ps.-Antig. 27 Musso Φησὶν περὶ Κωνώπιον τῆς Μαιώτιδος λίμνης τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν· ἂν δ’ ὑπολάβωσίν τι ἀδικεῖσθαι, λυμαίνεσθαι τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν; Arist. HA 620b5; Ael. NA 6,65   **312** Sch. D ad B 502 Κῶπαι· πόλις Βοιωτίας, ἀπὸ Κωπεῶνός τινος ἥρωος. παρ’ ἣν καὶ λίμνη Κωπα<ί>ς; Eust. ad B 502 (I 408,31) Αἱ δὲ Κῶπαι ἀπὸ Κωπέως ἢ Κωπεῶνος οὕτω καλοῦνται, υἱοῦ Ὀγχηστοῦ. ταύτης ὁ πολίτης Κωπαΐτης. περὶ αὐτὴν δὲ καὶ λίμνη μεγάλη Κωπαΐς   de gentili cf. St. Byz. 658,10 Κωπαῖος Κωπαιεύς, Th. 4,93,4 Κωπαιῆς, IG VII 4149,15 Κωπαέων   Κωπαία λίμνη non invenitur, sed memorantur (ἐγχέλεις) Κωπαῖαι apud Ath. 7,298f (= Archestrat. SH 139,6 = fr. 10,6 Olson/Sens)

---

311 1 ἀκαρνανίας QN: ἀρκανανίας P, ἀκαρκαυνίας R   ε̅ QPN: ι̅ε̅ R   2 καὶ ante Κωνωπίτης add. Ald.   3 παρὰ RPN: περὶ (per comp.) Q   4 θήραν QPN: θύραν R   δὲ ante ὑπολάβωσιν om. PN   5 λίνα Q: λῖ- RPN   κωνώπιος RQN: -ιον P   **312** 1 Κῶπαι QPN: Κώπαι R   βοιωτιακὴ RQPN (cf. Braswell/Billerbeck, Epaphroditus 164 cum adn. ad loc.): βοιωτική VΠL   εὔτρησίν PN Hom. codd.: ἐυτρής RQ   2 Πλαταιέως Meineke: ἀπαταιέως RQP, ἀπαταλέως N Ald.   ὀγχιστοῦ RN   4 ἔστι δὲ QPN: ἔστι καὶ R   ἀθαναΐτης Q   5 ἣ RPN: ἡ Q

311. Konope, Stadt in Akarnanien.[440] Polybios <erwähnt sie> im fünften Buch (5,6,6 usw.). Das Ethnikon <lautet> Konopeer und Konopit sowie Konopaier. Es gibt auch Konopion am Maiotissee. Man erzählt, dass die Wölfe dort von den Fischern gefüttert würden und sie <daher> deren Beute bewachten. Fühlten sie sich aber betrogen, machten sie sich an deren Netze mit den Fischen. Das Ethnikon <lautet> Konopier und Konopieer.

312. Kopai, boiotische Stadt.[441] Homer (Il. 2,502) <sagt>: „Kopai und Eutresis". <Benannt ist sie> nach Kopeus, dem Sohn des Plataieus, Sohn des Onchestos und Enkel des Poseidon. Der Bürger <heisst> Kopaït, wie Epaphroditos (fr. 18 Braswell/Billerbeck = fr. 19 Lünzner) <angibt>. <Dieses Ethnikon> stammt indes von der Form Kopaier, wie Athenaït von Athenaier, und man sagt auch Kopaischer See. Zudem <gibt es die Form> Kopaieer und <davon die Bezeichnung> Kopaïs-See, welcher <früher> Leukonis genannt wurde.[442]

---

440 Cohen, Hell. settlements 1,109 f.

441 Inventory Nr. 209 f. Die Paradosis Βοιωτιακή wird gegen die *lectio facilior* Βοιωτική (codd. VΠL, Meineke) durch Str. 9,2,18 (C 406,33), letztlich wohl die Quelle des Stephanos, geschützt.

442 Zu Inhalt des Artikels und den verschiedenen Ableitungen ausführlich Braswell/Billerbeck, Epaphroditus 165–167.

313 Κώρυκος· πόλις Κιλικίας. Παρθένιος Προπεμπτικῷ (fr. 26 Lightfoot = SH 639). παρ' ᾗ τὸ Κωρύκιον ἄντρον νυμφῶν, ἀξιάγαστον θαῦμα, 20 ᾧ ὁμώνυμον ἐν Παρνασσῷ. τὸ ἐθνικὸν Κωρύκιος. ἐκεῖ δὲ τὴν πόλιν Κωρύκειάν φασι. λέγεται καὶ Κωρυκιώτης, καὶ ἴσως παρὰ τὸ Κωρύκιον ἢ ἀπὸ τοῦ Κωρυκία. ἔστι καὶ Κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον ὑψη- 5 402 λὸν πλησίον Τέω τῆς Ἰωνίας καὶ Ἐρυθρῶν, ὡς Ἑκαταῖος ἐν Ἀσίᾳ (FGrHist 1 F 231). καὶ λιμὴν ὁμώνυμος καὶ νησίον ὁμώνυμον, οὗ κατὰ τὸν παράπλουν λῃστήριόν τι μέγα τῶν Κωρυκαίων ὠτακουστούντων ἐν τοῖς αὐτόθι λιμέσι <τὰ κατὰ> τοὺς φόρτους καὶ τοὺς πλοῦς τῶν 5 ἐμπόρων καὶ οὕτως αὐτοῖς ἐπιβουλευόντων, ὅθεν ἡ παροιμία (Zen. 4,75 10 [I 104,20 Leutsch/Schneidewin]) ἐπὶ τῶν περιεργαζομένων τὰ ἀπόρρητα „τοῦ δ' ἆρ' ὁ Κωρυκαῖος ἠκροάζετο". ἔστι καὶ ἀκρωτήριον Κρήτης Κωρυκία. καὶ λιμὴν Αἰθιοπίας.

---

313 de nympharum antro prope Corycum sito Str. 9,3,1 (C 417,11) ὁ Παρνασσὸς ἔχων ἄντρα τε καὶ ἄλλα χωρία … ὧν ἐστι γνωριμώτατον καὶ κάλλιστον τὸ Κωρύκιον, νυμφῶν ἄντρον ὁμώνυμον τῷ Κιλικίῳ; Str. 14,5,5 (C 670,33) καὶ Κώρυκος ἄκρα, ὑπὲρ ἧς ἐν εἴκοσι σταδίοις ἐστὶ τὸ Κωρύκιον ἄντρον, ἐν ᾧ ἡ ἀρίστη κρόκος φύεται de gentili Κωρύκιος in dei cognomine cf. Inscr. de Cilicie 16 et 17; de Κωρυκιώτης forma cf. SEG 51 (2001) Nr. 1897, sed Κουρικιῶται in Theophan. Chron. p. 370,24 de Boor de Coryciis piratis Str. 14,1,32 (C 644,23) Πρὶν δ' ἐλθεῖν ἐπὶ τὰς Ἐρυθρὰς πρῶτον μὲν Αἶραι πολίχνιόν ἐστι Τηΐων, εἶτα Κώρυκος, ὄρος ὑψηλόν, καὶ λιμὴν ὑπ' αὐτῷ Κασύστης καὶ ἄλλος, Ἐρυθρᾶς λιμὴν καλούμενος, καὶ ἐφεξῆς πλείους ἕτεροι. φασὶ δὲ τὸν παράπλουν τοῦ Κωρύκου πάντα λῃστήριον ὑπάρξαι τῶν Κωρυκαίων καλουμένων, εὑρομένων τρόπον καινὸν τῆς ἐπιβουλῆς τῶν πλωϊζομένων· κατεσπαρμένους γὰρ ἐν τοῖς λιμέσι τοῖς καθορμιζομένοις ἐμπόροις προσφοιτᾶν καὶ ὠτακουστεῖν τί φέροιεν καὶ ποῦ πλέοιεν, εἶτα συνελθόντας ἀναχθεῖσι τοῖς ἀνθρώποις ἐπιτίθεσθαι καὶ καθαρπάζειν. ἀφ' οὗ δὴ πάντα τὸν πολυπράγμονα καὶ κατακούειν ἐπιχειροῦντα τῶν λάθρᾳ καὶ ἐν ἀπορρήτῳ διαλεγομένων „Κωρυκαῖον" καλοῦμεν καὶ ἐν παροιμίᾳ φαμέν „τοῦ δ' ἆρ' ὁ Κωρυκαῖος ἠκροάζετο", ὅταν δοκῇ τις πράττειν δι' ἀπορρήτων ἢ λαλεῖν, μὴ λανθάνῃ δὲ διὰ τοὺς κατασκοποῦντας καὶ φιλοπευστοῦντας τὰ μὴ προσήκοντα; Eust. D. P. 855 (p. 367,14) Ἐν ἄλλοις δέ φησιν ὁ αὐτὸς (sc. Strabo), ὅτι Κώρυκος ἄκρα Κιλικίας, μετὰ τὴν ἄκραν τὸ Ἀνεμούριον, ὑπὲρ ἧς ἄντρον τὸ Κωρύκιον, ἐν ᾧ ἀρίστη κρόκος φύεται. ἰστέον δὲ ὅτι ἡ παροιμία ἡ λέγουσα „τοῦ δ' ἆρ' ὁ Κωρυκαῖος ἠκροάζετο", οὐκ ἀπὸ ταύτης τῆς Κωρύκου εἴρηται, ἀλλ' ἀπὸ νησίου τινὸς καὶ λιμένος ὄντος πλησίον τῆς Τέω <νήσου> καὶ τῶν Ἐρυθρῶν, ἔνθα λῃστήριον ἦν τῶν ἐκεῖ Κωρυκαίων ὠτακουστούντων περιέργως τὰ κατὰ τοὺς ἐμπόρους καὶ οὕτως ἐπιβουλευόντων αὐτοῖς. ὅθεν καὶ ἡ παροιμία ἐπὶ τῶν περιεργαζομένων καὶ μανθανόντων τὰ ἀπόρρητα de loco Cretensi cf. Str. 8,5,1 (C 363,21) Κώρυκον ἄκραν τῆς Κρήτης; Ptol. Geog. 3,17,2 (3,15,2) Κώρυκος ἄκρα καὶ πόλις; Plin. nat. 4,59 *montes … Corycus*

---

313 2 κωρύκιον RQ: κωρύκειον PN 3 κωρύκιος (ex κο-) R^pc 4 φασι Ald.: φησι RQPN 6 ἐρυθρῶν R^pc: ἐρυθρὸν R^ac QPN ἐν ἀσία RQPN: ἀσίᾳ Ald. 8 κορυκαίων N 9 τὰ κατὰ add. Berkel in app. (ex Eust.) 11 ἀπόρρητα PN: ἀπόρητα RQ 12 ἆρ' Xylander: ἄρα RQPN ἠκροάζετο R: -σατο QPN ἔστι καὶ R: καὶ QPN 13 κωρυκία R: κωρυκίη QPN

313. Korykos, Stadt in Kilikien.[443] Parthenios <nennt sie> im *Propemptikon* (fr. 26 Lightfoot = SH 639). In ihrer Nähe <befindet sich> die Korykische Höhle der Nymphen, ein staunenswertes Naturwunder, mit welchem jene am Parnass denselben Namen teilt.[444] Das Ethnikon <lautet> Korykier. Dort (d.h. in Kilikien) hingegen nennt man die Stadt Korykeia. Man sagt <für den Einwohner> auch Korykiot, und dies möglicherweise in Ableitung vom <Neutrum> Korykion oder vom <Femininum> Korykia. Es gibt auch einen Berg Korykos, im Maskulinum gebraucht, einen hohen, in der Nähe von Teos <an der Küste> Ioniens und von Erythrai, wie Hekataios in der *Asia* (FGrHist 1 F 231) <berichtet>. Ferner <gibt es dort> einen gleichnamigen Hafen sowie, mit gleichem Namen, ein <vorgelagertes> Inselchen. An dessen Ufer befand sich ein grösseres Piratennest der Korykaier, welche ebendort an den Anlegestellen die Verhandlungen der Kaufleute über Fracht und Fahrwege belauschten und diesen <dann> entsprechend auflauerten. Daher <rührt> das geflügelte Wort (Zen. 4,75 [I 104,20 Leutsch/Schneidewin]) über jene, die sich in die Geheimnisse <anderer> einmischen: „Ihn hatte also der Korykaier belauscht“.[445] Ferner gibt es ein Vorgebirge <an der Küste> Kretas <namens> Korykia.[446] Und <es gibt einen gleichnamigen> Hafen in Äthiopien.

---

443 TIB 5,1,315–320.

444 TIB 5,1,314 f. Meineke vermutet, dass ἀξιάγαστον θαῦμα nach ἐν Παρνασσῷ stehen sollte, da die Korykische Höhle am Parnass als Naturwunder galt (vgl. Antig. Mir. 127 Giannini, Paus. 10,32,7); doch auch die kilikische Höhle war wohlbekannt, wie deren Erwähnung in Stad. 173 (GGM 1,482,3) und Const. Porph. Them. XIII 4 zu erkennen gibt.

445 Inventory Nr. 849. Bereits Ephoros (FGrHist 70 F 27) berichtet von einer Zusammenarbeit zwischen Korykaiern als Aushorchern und den ihnen benachbarten Myonnesiern, welche die Frachtschiffe ausrauben und die Beute mit ihnen teilen. Die direkte Quelle des Stephanos ist jedoch Strabons Referat (14,1,32), auf welches Eustathios (zu D. P. 855) namentlich hinweist, in seiner Darstellung jedoch fast wörtlich den *Ethnika* folgt; dazu Radt, Kommentar 8,43.

446 Zu diesem Kap s. Gondicas, Recherches sur la Crète occidentale 142–144.

314 **Κῶς·** τὸ ὄρυγμα τὸ ἐν Κορίνθῳ, οὗ καθείργνυον τοὺς φῶρας καὶ τοὺς δραπέτας. λέγεται καὶ Κῶος, κῶες δὲ οἱ ἐν αὐτῷ ἀνατραφέντες. 10 κώους γὰρ τὰ κοιλώματα τῆς γῆς καὶ πάντα τὰ σπήλαια ἔλεγον.

---

314 Sch. T ad Ξ 255b <Κόων·> τινὲς „Κόον", ὡς καὶ Καλλίστρατος ἐν τοῖς Διορθωτικοῖς. Κῶν Κόον, ὡς „σόον" (Α 117, etc.) διαλύσει καὶ „χροὸς εἴσατο" (Ν 191); Eust. ad Β 677 (I 496,5) ἰστέον δὲ ὅτι κατὰ τὴν ἱστορίαν Κῶς ἐλέγετο καὶ ὄρυγμά τι ἐν Κορίνθῳ, οὗ καθείργνυον, φησί, φῶρας καὶ δραπέτας … . ἐλέγετο δὲ καὶ κῶος. καὶ κῶες δὲ οἱ ἐν ταύτῃ ἀνατραφέντες, καὶ πάντα δέ, φησί, σπήλαια καὶ κοιλώματα γῆς κώους οἱ παλαιοὶ ἔλεγον; Eust. ad δ 1 (I 141,8) ὁ δὲ τὰ Ἐθνικὰ γράψας, ἱστορεῖ ὅτι κῶς, ὄρυγμα ἐν Κορίνθῳ, ὅπου φῶρας καὶ δραπέτας καθείργνυον. καὶ οἱ ἐν αὐτῷ τραφέντες, κῶες ἐλέγοντο. κώους γὰρ, τὰ κοιλώματα τῆς γῆς καὶ πᾶν σπήλαιον ἔλεγον Hsch. κ 4885 Κῶς· νῆσος. καὶ δέρμα. εἱρκτή, δεσμωτήριον

---

314 2 κῶες δὲ P[pc](-ες alt. m., ut vid.)N: κῶα R, κω cum spat. ca. 6 litt. Q ἐν αὐτῷ Berkel (ex Eust. ad δ 1): ἐν ταύτῃ RQPN Eust. (ad Β 677) 3 κοιλάματα P

314. Kos, <so heisst> die Grube in Korinth, wo <die Korinther> die Diebe und die entlaufenen Sklaven einzuschliessen pflegten.[447] Man sagt auch Κῶος, <heissen> doch Koer diejenigen, die in dieser Grube aufgezogen wurden.[448] Als κῶοι bezeichnete man nämlich Erdhöhlen und alle <Arten von> Grotten.

---

[447] Diese Grube (ὄρυγμα) ist vergleichbar mit dem Barathron in Athen und dem Kaiadas in Sparta, Abgründe, in welche Verbrecher oder die Leichen nach ihrer Hinrichtung gestossen wurden.

[448] Die Paradosis ἐν ταύτῃ (d.h. in Korinth) wird zwar durch das Referat bei Eustathios zu δ 1 (s. Similia) geschützt; mit ἐν αὐτῷ (d.h. in der Grube) hatte Eustathios in seinem alternativen Referat zu Β 677 den Bezug zu κῶς jedoch sprachlich ins Lot gebracht.

315 **Κῶς**· πόλις καὶ νῆσος. καὶ Ὅμηρος (Β 677) „καὶ Κῶν Εὐρυπύλοιο <πόλιν>“. ἣ Μεροπὶς ἐκαλεῖτο ἀπὸ γηγενοῦς Μέροπος. Κῶς δὲ ἀπὸ Κῶ τῆς Μέροπος θυγατρός. ἐκαλεῖτο δὲ καὶ Καρίς. λέγεται καὶ Κώως διὰ
15 δύο ωω, καὶ Κόως, ἀφ᾽ οὗ τὸ παρ᾽ Ὁμήρῳ (Ξ 255 et Ο 28) τοπικόν „καί
403 μιν ἔπειτα Κόωνδ᾽ εὐναιομένην ἀπένεικας“. λέγεται καὶ Κόος διὰ δύο οο. 5
ἔοικεν οὖν τὸ πρωτότυπον Κῶς. οὕτως γὰρ καὶ ὁ κτίστης. τῆς Κέω τὸ ἐθνικὸν Κέιος, καὶ ἐκτάσει Κήιος, ὡς τῆς Τέω Τέιος καὶ Τήιος, καὶ Κεῖος
5 διὰ διφθόγγου. τῆς δὲ Κῶ μονοσυλλάβου Κῷος καὶ Κώιος, ὡς Μινῷος. οὕτως δὲ ἐχρημάτιζον Ἱπποκράτης καὶ Ἐρασίστρατος ἰατροί. ἦν δὲ Ἱπποκράτης τῶν καλουμένων Νεβριδῶν· Νέβρος γὰρ ἐγένετο ὁ δια- 10
σημότατος τῶν Ἀσκληπιαδῶν, ᾧ καὶ ἡ Πυθία ἐμαρτύρησεν· οὗ
10 Γνωσίδικος, Γνωσιδίκου δὲ Ἱπποκράτης καὶ Αἴνειος καὶ Ποδαλείριος, Ἱπποκράτους Ἡρακλείδης, οὗ Ἱπποκράτης ὁ ἐπιφανέστατος, ὁ καὶ θαυμασίας συντάξεις καταλελοιπώς. ἔστι καὶ ἐν Αἰγύπτῳ πόλις Κῶς.

---

315 Str. 14,2,19 (C 657,15) Ἡ δὲ τῶν Κῴων πόλις ἐκαλεῖτο τὸ παλαιὸν Ἀστυπάλαια, καὶ ᾠκεῖτο ἐν ἄλλῳ τόπῳ ὁμοίως ἐπὶ θαλάττῃ· ἔπειτα διὰ στάσιν μετῴκησαν εἰς τὴν νῦν πόλιν περὶ τὸ Σκανδάριον καὶ μετωνόμασαν Κῶν ὁμωνύμως τῇ νήσῳ Eust. ad Β 677 (I 495,20) Τῆς δὲ Κῶ νήσου Κῷος τὸ ἐθνικόν, ὥσπερ δὴ καὶ τῆς ἐν αὐτῇ πόλεως, ἣν πόλιν Εὐρυπύλου λέγει ὁ ποιητής, υἱοῦ Ἡρακλέος καὶ Χαλκιόπης, εὐκλεῶς ἐκεῖ βασιλεύσαντος. ἰστέον καὶ ὅτι ἡ Κῶς αὕτη Μερόπη καὶ Μεροπὴς ἐλέγετο ἀπὸ Μερόπων, ἔθνους ἢ γένους οἰκησάντων αὐτήν, ἢ ἀπὸ Μέροπος, οὗ θυγάτηρ Κῶς, ἧς φασιν ἡ νῆσος ἐπώνυμος. καὶ ὅτι δισυλλάβως Κώως λέγεται διὰ δύο μεγάλων ω καὶ Κόως διὰ μικροῦ ο καὶ μεγάλου, ἐξ οὗ τὸ „Κόων εὖ ναιομένην“ παρὰ τῷ ποιητῇ καὶ Κόος δὲ διὰ δύο ο μικρῶν, ὧν συναιρεθέντων ἔοικε γενέσθαι ἡ Κῶς. κατὰ δέ τινας καὶ ὡς πολυπρόβατος οὕτω καλεῖται· κόον γάρ φασι κατὰ γλῶσσαν τὸ πρόβατον λέγεσθαι. εὕρηται δὲ καὶ Κέως λεγομένη ὡς ἡ Τέως. ἧς ἐθνικὸν Κέϊος καὶ ἐκτάσει Κήϊος, ὡς Τέϊος Τήϊος, καὶ ἐν συναιρέσει Κέϊος Κεῖος. τῆς δὲ Κῶ κτητικὸν εὕρηται παρὰ Πορφυρίῳ Κωακόν de appellatione Meropis cf. etiam Th. 8,41,2 Κῶν τὴν Μεροπίδα; Str. 15,1,3 (C 686,8) Κῶ τῆς Μεροπίδος; St. Byz. μ 151 Μέροψ· Τριόπα παῖς, ἀφ᾽ οὗ Μέροπες οἱ Κῷοι καὶ <ἡ> νῆσος Μεροπίς de appellatione Karis cf. St. Byz. κ 82 Καρία· …. Καρίς δὲ ἐλέγετο ἡ Κῶς, ὡς Ἑλλάνικος (FGrHist 4 F 200 = fr. 200 Fowler); Eust. ad Β 867 (I 579,2) ἡ δὲ Καρία καὶ Καρίνη λέγεται καὶ Καρὶς δέ, φασίν, ὅθεν καὶ ἡ Κῶς Καρὶς ἐλέγετο κατὰ τὸν ἐπιλέκτην τῶν Ἐθνικῶν oppidum Aegyptium apud Ptol. Geog. 4,5,59 (4,5,29) Κῶ

---

315 1 Εὐρυπύλοιο Xylander (ex Hom.): εὐρίπυλον R, εὐρύπυλον QPN 2 πόλιν add. Meineke (ex Hom.) Μεροπίς Holste: μέροπος RQPN 3 Καρίς Holste: καρία RQPN Κώως Holste: κωόος R, κώοος Q[pc](ex κῶ-)PN 4 τῶν ante δύο add. R ωω Meineke (cl. St. Byz. 82,19; 211,1; 219,8; 353,1 etc.): οο RQ, ο PN κόως QPN: κῶος R 4–5 καί μιν Xylander (ex Hom. codd.): καὶ μὴν RQPN 5 κόωνδ᾽ QPN Hom. codd.: κῶονδ᾽ R οο RQ: ο PN 6 πρωτότυπον (ex πρῶτον) N Κῶς Meineke: κέως RQPN κτίκης P post κτίστης dist. J. Schweighäuser ad Plb. 16,41,7 (Adnotationes ad lib. XI–XXX [1793] 302): post τῆς Κέω dist. RQPN 10 Νέβρος Meineke: νεβρὸς RQPN ἐγένετο QPN: ἐλέγετο R 12 γνωσίδηκος γνωσιδήκου (ex -δήμ-) R[pc] 13 Ἡρακλείδης Ald.: ἡρακλείδας RQPN 14 κῶς P[pc]: κῶς RQP[ac]N

315. Kos, Stadt und Insel.[449] Auch Homer (Il. 2,677) <sagt>: „Und Kos, die Stadt des Eurypylos“. Meropis hiess sie nach dem erdgeborenen Merops. Kos hingegen <heisst sie> nach Kos, der Tochter des Merops. Man nannte sie aber auch Karis. Zudem sagt man Κώως, mit zwei ω <geschrieben>,[450] sowie Κόως, wovon das Topikon <Κόωνδε> bei Homer (Il. 14,255 und 15,28) <abgeleitet ist>: „Und du liessest ihn (d. h. Herakles) darauf nach dem wohlbewohnten Koos wegtragen“. Man sagt auch Κόος, mit zwei ο <geschrieben>. Anscheinend ist also Κῶς das Stammwort. So nämlich <hiess> auch der Gründer <der Stadt>.[451] Zu Keos <lautet> das Ethnikon Keïer (Κέιος) und mit Dehnung <des ε zu η> Kêïer (Κήιος), wie zu Teos Teïer (Τέιος) und Têïer (Τήιος), und Keier (Κεῖος) mit Diphthong. Zur einsilbigen <Namensform> Κῶς <lautet das Ethnikon> hingegen Koer (Κῷος) und Koïer (Κώιος), <gebildet> wie Minoer. Entsprechend wurden die Ärzte Hippokrates <als Koer> und Erasistratos <als Keier> bezeichnet,[452] stammte doch Hippokrates aus <dem Geschlecht> der sogenannten Nebriden. Denn Nebros war der Berühmteste aus der Asklepiadenfamilie; für ihn hatte sogar die Pythia Zeugnis abgelegt. Sein Nachkomme war Gnosidikos, und von Gnosidikos <stammten> Hippokrates, Aineios und Podaleirios <ab>, von Hippokrates Herakleides, dessen <Sohn> Hippokrates ist, der höchst angesehene <Arzt>, welcher bewundernswerte Fachschriften hinterlassen hat.[453] Es gibt auch in Ägypten eine Stadt <namens> Kos.[454]

---

[449] Inventory Nr. 499 (Stadt) und Nr. 497 (Insel).

[450] Diese Schreibweise des Toponyms ist nicht belegt. Mag sein, dass die Aussage auf die geläufige Periphrase ἡ Κώων (sc. πόλις oder νῆσος) zurückgeht.

[451] Die von Schweighäuser vorgeschlagene Interpunktion nach κτίστης (in den Hss nach Κέω) bringt den überlieferten Text ins Lot: Auf das Stammwort Κῶς, bei dem es sich wohl um den Gründerheros handelt (vgl. St. Byz. α 130,11 ff.; EM 741,53), folgen zuerst die Ethnika zu Keos, denen dann jene von Kos gegenübergestellt werden. Dieser unvermittelte Übergang lässt mit Meineke vermuten, dass in der ursprünglichen Fassung an dieser Stelle auf die Unterscheidung zwischen den Inseln Kos und Keos hingewiesen wurde. Da der vermutliche Artikel Κέως zu den frühen Textverlusten der Epitome gehört (s. oben S. 82) und Eustathios sich in seinem Referat über Kos ausschweigt, kommen wir über eine Vermutung freilich nicht hinaus.

[452] Zu Erasistratos, dessen Geburtsort Iulis auf Keos Stephanos erwähnt (ι 79), s. I. Garofalo, Erasistrati fragmenta (Pisa 1988) 17–22 (Biographie).

[453] Zu Hippokrates und seinem Stammbaum s. J.R. Pinault, Hippocratic lives and legends (Leiden/New York/Köln 1992) bes. 5–34.

[454] Calderini/Daris, Dizionario 3,2,174.

316 **Κωνστάντεια**· ἡ *νῦν* ἐν Κύπρῳ Σαλαμίς. *γίνεται* δὲ ἀπὸ τῆς Κώνσταντος *γενικῆς*, ὡς Μαρώνεια ἀπὸ τῆς Μάρωνος, καὶ Καύκων Καυκώνεια. ἔστι καὶ Βρεττίας ἄλλη, ὡς Διονύσιος ιθ̅ Ῥωμαϊκῆς ἀρχαιολογίας (vol. 4, p. 312 Jacoby). τὸ ἐθνικὸν Κωνσταντιάτης. εὕρηται καὶ διὰ τοῦ ι.

404

317 **Κωνσταντίνου πόλις**· δύο μέρη λόγου, καὶ ἐξ αὐτῶν ἓν Κωνσταντινοπολίτης, ὡς εἴρηται ἐν τῷ περὶ Βυζαντίου (β 190).

---

316 Jo. Malal. Chron. 12,48 (p. 241,31 Thurn) τὴν πρῴην μὲν λεγομένην Σαλαμιάδα, ἐξ ἐκείνου δὲ μετακληθεῖσαν Κωνσταντίαν· ἥτις ἐστὶ *νῦν* μητρόπολις τῆς Κύπρου **317** St. Byz. β 190 Βυζάντιον· … . μετωνομάσθη δὲ καὶ Κωνσταντινούπολις καὶ Νέα Ῥώμη. τὸ ἐθνικὸν Κωνσταντινοπολίτης, ἄνευ τοῦ υ

---

316 1 *νῦν* om. PN δὲ om. N κώνσταντος RQN: κώσταντος P 2 τῆς R: τοῦ QPN καύκων RQ: καύκωνος PN καυγλώνεια P[ac] 3 βρεττίας Q: βρεττανίας PN, κρεττίας R ι̅ post ἀρχαιολογίας add. Q 4 ι QPN: *ν* R **317** 1 Κωνσταντίνου πόλις QPN: Κωνσταντινούπολις R τοῦ ante λόγου add. R καὶ QPN: ὡς R 2 Κωνσταντινοπολίτης Meineke (in app.), qui tamen Κωστ- in textu posuit: κωνσταντινουπολίτης RQPN post **317** τέλος τοῦ κ στοιχείου add. R

316. Konstanteia, das jetzige auf Zypern <gelegene> Salamis.[455] <Der Stadtname> geht aus dem Genitiv Κώνσταντος <zum Nominativ Κώνστας> hervor, wie Maroneia vom Genitiv Μάρωνος <zum Nominativ Μάρων> und zu Καύκων <mit Genitiv Καύκωνος> Kaukoneia <gehört>. Es gibt auch eine weitere <Stadt dieses Namens> in Bruttium, wie Dionysios im neunzehnten Buch seiner *Römischen Altertumskunde* (Bd. 4, S. 312 Jacoby) <angibt>. Das Ethnikon <lautet> Konstantiat. <Der Ortsname> findet sich <nämlich> auch mit ι (d.h. Κωνσταντία, Konstantia) belegt.[456]

317. Konstantinupolis,[457] zwei Bestandteile eines Begriffs, und aus ihnen <bildet man das Ethnikon> in einem Wort Konstantinopolit, wie im Artikel über Byzantion (β 190) gesagt worden ist.[458]

---

[455] Zur Stadt und ihrer Geschichte s. M. Yon, La ville de Salamine, in: M. Yon (Hg.), Kinyras: L'Archéologie française à Chypre (Lyon 1993) 139–158. Um strikte alphabetische Reihenfolge einzuhalten, hat Xylander hier wie im folgenden Artikel die Paradosis Κωνστ- konsequent zu Κωστ- geändert. Was Κωνσταντίνου πόλις betrifft, wird man sich an die Übereinstimmung mit der einheitlichen Überlieferung im Artikel β 190 halten, worauf Stephanos oder sein Epitomator ausdrücklich verweist. Auch für die zypriotische Stadt ist die Schreibweise mit Κωνστ- die verbreitete, vgl. Const. Porph. Them. XV 2, Suid. ε 2742 usw.

[456] Gemeint ist Κωσεντία, die Hauptstadt der Bruttier (Str. 6,1,5 [C 256,4]), das heutige Cosenza; BTCGI 5,431–441. Diese ist in byzantinischer Zeit auch unter den Namen Κωνστάντεια (vgl. Georg. Cypr. 605 [p. 31 Gelzer]; Not. Episc. 7,545 [p. 238 Darrouzès]) und Κωνσταντία (vgl. Not. Episc. 9,406 und 10,487 [p. 303 und 325 Darrouzès]) bekannt. Nicht ganz von der Hand zu weisen ist Meinekes Vermutung, in der Epitome sei ein ursprünglich selbständiger Eintrag Κωσεντία· πόλις τῆς Βρεττίας, ὡς Διονύσιος ιθ̅ ῾Ρωμαϊκῆς ἀρχαιολογίας als homonymes Toponym einverleibt worden. Zum Kanon des Ethnikons sowie den Analogien vgl. St. Byz. κ 136 (Καυκώνεια), μ 81 (Μαρώνεια) sowie α 38.

[457] Zur Orthographie s. oben Anm. 455 (zu κ 316).

[458] Der Artikel ist erstaunlich kurz, weshalb Meineke mit grossem Textverlust rechnet („post hoc tmema plura videntur intercidisse"). Das Excipit in R (τέλος τοῦ κ στοιχείου) widerrät jedoch einem solchen Schluss. Mehr Auskunft über die Umbenennung von Byzanz in Konstantinopel gab Stephanos möglicherweise in seiner verlorenen Chronik *Byzantiaka*; vgl. γ 104 mit Anm. 97.

Λ

Meineke

404 5 **1 Λᾶ**· πόλις Λακωνική. Λυκόφρων (95) „καὶ Λᾶν περήσεις“. ταύτην ἑλόντες οἱ Διόσκουροι Λαπέρσαι ἐκλήθησαν. λέγεται καὶ ἀρσενικῶς. ταύτην διαλύσας Ὅμηρός (Β 585) φησιν „οἵ τε Λάαν εἶχον ἠδ᾽ Οἴτυλον ἀμφενέμοντο“. κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς, διὸ Λᾶ καλεῖται. οἱ οἰκοῦντες Λᾶοι. 5

10 **2 Λάβαι**· {πόλις} ὡς Σάβαι, Χαττηνίας πόλις. Πολύβιος ιγ̅ (13,9,1). τὸ ἐθνικὸν Λαβαῖος ὡς Σαβαῖος. τῆς αὐτῆς χώρας ἀμφότεραι. ἡ γὰρ Χαττηνία τῶν Γερραίων ἐστὶ χώρα.

3 Λάβαρα· πόλις Καρίας. Ἀλέξανδρος β̅ Περὶ Καρίας (FGrHist 273 F 26). τὸ ἐθνικὸν Λαβαρεύς ὡς Παταρεύς.

405 **4 Λάβδαλον**· ἄκρον τῶν Ἐπιπολῶν, Συρακουσῶν πλησίον. Θουκυδίδης ϛ̅ (6,97,5).

---

1 Eust. ad Β 585 (I 457,4) Λάαν δὲ Ὅμηρος μὲν δισυλλάβως προάγει· οἱ δὲ παλαιοί φασιν, ὅτι Λᾶ μονοσυλλάβως ἐλέγετο ἀρσενικῶς τε καὶ θηλυκῶς ἤγουν καὶ ἡ Λᾶ καὶ ὁ Λᾶς, ὡς καὶ ὁ Λυκόφρων δηλοῖ ἐν τῷ „καὶ Λᾶν περήσεις“. ὁ δὲ ποιητὴς διέλυσε, φασί. κεῖται δ᾽ ἐπὶ πέτρας ὑψηλῆς· διὸ Λᾶ καλεῖται ὡς ἀπὸ τοῦ λᾶς ὁ λίθος. ταύτην φασὶ τὴν Λᾶν οἱ Διόσκουροι ἐκ πολιορκίας εἷλον· διὸ ἐκλήθησαν Λαπέρσαι. οἱ δὲ οἰκοῦντες ἄδηλον, εἴτε Λαοὶ ὀξυτόνως εἴτε Λᾶοι προπερισπωμένως. ἡ δὲ ἀμφιβολία διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν; Sch. D ad Β 585 Λάαν· πόλιν Λακωνικῆς, ἣν οἱ Διόσκουροι πορθήσαντες Λαπέρσαι ἐκλήθησαν. διὰ δὲ τὸ μέτρον ἀναγνωστέον δισυλλάβως. χρὴ γὰρ λέγειν μονοσυλλάβως Λᾶν Str. 8,5,3 (C 364,25) τὴν δὲ Λᾶν οἱ Διόσκουροί ποτε ἐκ πολιορκίας ἑλεῖν ἱστοροῦνται, ἀφ᾽ οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν **2** Ptol. Geog. 6,7,28 Λάβα **4** Th. 6,97,5 οἱ Ἀθηναῖοι … φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ᾽ ἄκροις τοῖς κρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα cum Sch. ad loc. τῷ Λαβδάλῳ· Λάβδαλον τόπος ἐν Σικελίᾳ

---

ante **1** titulum ἀρχὴ τοῦ λ στοιχείου add. R, ἀρχὴ τοῦ λ μετὰ τοῦ α Q, ἀρχὴ τοῦ λ στοιχείου N **1** 1 Λᾶ PN: Λά RQ λᾶν PN: λὰν RQ ταύτην RPN: -της Q 2 διόσκουροι RN: -κοῦροι QP 3 διαλύσας RPN: lac. indic. om. Q ὅμηρος QPN: supra scr. alt. m. R οἵ τε Ald.: οἱ δὲ RQPN ἠδ᾽ Holste (ex Hom. codd.): οἳ δ᾽ RQPN οἴτυλον R: οἴτειλον QPN 4 ἀμφενέμοντο om. QPN κεῖται RPN: lac. indic. om. Q δὲ om. RQ λᾶ QPN: λὰ R οἰκοῦντες R: κατ- QPN 5 Λᾶοι Meineke („rectius haud dubie“, ex Eust.): λαοί RQPN **2** 1 πόλις secl. Meineke Σάβαι Xylander: σάβας RQPN χαττηνίας PN: spat. ca. 6 litt. νίας R, spat. ca. 6 litt. τηνίας Q 2 σαβαῖος PN: spat. 2–3 litt. indic. αῖος R, spat. ca. 4 litt. βαῖος Q ἀμφότεραι Bekker: -τεροι R, -τερα PN, ἀμφοτ Q 3 Χαττηνία Xylander: γαττία RQPN **4** 1 Λάβαλον R[ac] Ἐπιπολῶν Holste (e Th.): ἐπιπολλῶν R, -λέων QP, -λαίων N Συρακουσῶν Holste: -σίων RQPN

L

1. La, lakonische Stadt.[1] Lykophron (95) <erwähnt sie>: „Und du wirst La durchqueren“. Nachdem die Dioskuren diese <Stadt> erobert hatten, wurden sie ‚Zerstörer von La‘ (Λαπέρσαι) genannt.[2] Man spricht <von dem Stadtnamen> auch im Maskulinum <als Λᾶς>. Homer löst diese <Kontraktion im Namen> auf und sagt (Il. 2,585): „Jene, welche Laas besassen und Oitylos umwohnten“.[3] <Die Stadt> ist auf einem hohen Felsen gelegen; deswegen heisst sie ‚La‘ (ὁ λᾶας, att. λᾶς, d. h. Stein). Die Einwohner <nennt man> Laer.

2. Labai, wie Sabai, Stadt in Chattenien.[4] Polybios <erwähnt sie> im dreizehnten Buch (13,9,1). Das Ethnikon <lautet> Labaier, wie Sabaier. Beide <befinden sich> im selben Landstrich. Chattenien ist nämlich eine Landschaft der Gerrhaier.

3. Labara, Stadt in Karien.[5] Alexander (Polyhistor) <erwähnt sie> im zweiten Buch <seiner Schrift> *Über Karien* (FGrHist 273 F 26). Das Ethnikon <lautet> Labareer wie Patareer.

4. Labdalon, Kap von Epipolai, in der Nähe von Syrakus.[6] Thukydides <erwähnt es> im sechsten Buch (6,97,5).

---

1 Zu diesem gut bekannten Ort, auch Λᾶς geschrieben (vgl. z. B. Ps.-Scyl. 46,1, Paus. 3,24,6), s. Inventory Nr. 337.

2 Vgl. unten λ 40; Λαπέρσαι ist Sch. Lyc. 1369b als δῆμος τῆς Λακωνικῆς (Wilamowitz, ἀττικῆς codd.) bekannt, wo ferner von einem Ζεὺς Λαπέρσιος die Rede ist.

3 Visser, Homers Katalog der Schiffe 489–492.

4 Vgl. St. Byz. 689,14; zu einer etwaigen Lokalisierung der Stadt RE XII 1,239, s. jedoch Walbank, Commentary on Polybius 2,422.

5 Nicht weiter belegt; s. Zgusta, Kleinasiatische Ortsnamen § 665.

6 Vgl. St. Byz. ε 166 (mit BTCGI 19,6).

5 Λαβίνιον· πόλις Ἰταλίας, Αἰνείου κτίσμα. Ἰόβας ἐν α (FGrHist 275 F 11). ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς Λαβινίας. τὸ ἐθνικὸν Λαβινιάτης.
5 λέγονται καὶ Λαυινιᾶται.

6 Λάβρανδα· κώμη Καρίας. Στράβων ιδ (14,2,23 [C 659,7]). τὸ ἐθνικὸν Λαβρανδηνός καὶ Λαβράνδιος καὶ Λαβρανδεύς.

7 Λαγαρία· φρούριον Σικελίας πλησίον Θουρίων, τοῦ Ἐπειοῦ καὶ Φωκέων κτίσμα, ὡς Στράβων (6,1,14 [C 263,32]). ὁ πολίτης Λαγαρι-
10 τανός, ὅθεν καὶ Λαγαριτανὸς οἶνος.

8 Λάγινα· πολίχνιον Καρίας. Ἀπολλώνιος Καρικῶν ις (FGrHist 740 F 13a). τὸ ἐθνικὸν Λαγιναῖος καὶ Λαγινίτης καὶ θηλυκῶς Λαγινῖτις. ἔστι καὶ Λαγίνεια Βιθυνίας.

9 Λαγοῦσσα· νῆσος περὶ Κρήτην. Στράβων ι (10,5,1 [C 484,30]). τὸ
15 ἐθνικὸν Λαγουσσαῖος ἢ Λαγούσσιος.

---

5 D. H. 1,59,3 ὄνομα δὲ τῷ κτίσματι Αἰνείας τίθεται Λαουΐνιον, ὡς μὲν αὐτοὶ Ῥωμαῖοι λέγουσιν ἀπὸ τῆς Λατίνου θυγατρός, ᾗ Λαῦναν εἶναί φασι τοὔνομα· ὡς δ' ἄλλοι τινὲς τῶν Ἑλληνικῶν μυθογράφων ἔλεξαν, ἀπὸ τῆς Ἀνίου τοῦ Δηλίων βασιλέως θυγατρός, Λαύνας καὶ τῆσδε ὀνομαζομένης; Sch. Lyc. (Tzetzes) 1232 ὁ δὲ Λατῖνος τοῦτον οὐκ εἴα, ἡττηθεὶς δὲ πολέμῳ δίδωσιν Αἰνείᾳ πρὸς γάμον Λαβινίαν τὴν αὐτοῦ θυγατέρα, Αἰνείας δὲ κτίσας πόλιν Λαβινίαν ὠνόμασε de Aenea conditore cf. etiam Str. 5,3,2 (C 229,5); Ael. NA 11,16 de gentilis formis cf. D. H. 5,61,3 Λαβινιάτης et 1,57,1 Λαουινιάται **6** Str. 14,2,23 (C 659,5) ἔχουσι δ' οἱ Μυλασεῖς ἱερὰ δύο τοῦ Διός, τοῦ τε Ὀσογῶ καλουμένου καὶ τοῦ Λαβραϋνδηνοῦ, τὸ μὲν ἐν τῇ πόλει, τὰ δὲ Λαβράϋνδα κώμη ἐστὶν ἐν τῷ ὄρει κατὰ τὴν ὑπέρθεσιν τὴν ἐξ Ἀλαβάνδων εἰς τὰ Μύλασα, ἄπωθεν τῆς πόλεως Λαβρανδεύς apud Plu. Moralia 301f, 302a et Ael. NA 12,30 **7** Str. 6,1,14 (C 263,32) Μετὰ δὲ Θουρίους Λαγαρία φρούριον, Ἐπειοῦ καὶ Φωκέων κτίσμα, ὅθεν καὶ ὁ Λαγαριτανὸς οἶνος, γλυκὺς καὶ ἁπαλὸς καὶ παρὰ τοῖς ἰατροῖς σφόδρα εὐδοκιμῶν EM 554,15 Λαγαρία· πόλις Ἰταλίας· ἀπὸ Λαγάριδος τινὸς νομέως cf. etiam Ps.-Arist. Mir. 840a27 (= 108 Giannini) Περὶ δὲ τῆς Ἰταλίας τὴν καλουμένην Λαγαρίαν (Meineke, γαργαρίαν codd.), ἐγγὺς Μεταποντίου, Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Εἰληνίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν δούρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος **8** de oppidulo Cariae Str. 14,2,25 (C 660,17) et 14,2,29 (C 663,9) Λάγινα de civitate Bithyniae Ptol. Geog. 5,1,14 (5,1,3) Λαγάνεια; Itin. Anton. Aug. p. 142,3 Wesseling *Laganeos* **9** Str. 10,5,1 (C 484,30) ἀπὸ δὲ τῆς Ἴου πρὸς ἑσπέραν ἰόντι Σίκινος καὶ Λαγοῦσσα (Korais, λαγουσσα P/Π, λάγουσα codd.) καὶ Φολέγανδρος Eust. ad B 625 (I 474,9) καὶ νῆσοι Λαγοῦσσαι ἀπὸ τῶν ἐν τοῖς ἐκεῖ λαγωῶν. ἔνθα καὶ ὅρα τὸ Λαγοῦσσαι, ὡς ἀπὸ τοῦ λαγός τοῦ γραφομένου διὰ τοῦ ο μικροῦ, ὅθεν Λαγόεσσαι καὶ κατὰ κρᾶσιν Λαγοῦσσαι, ὡς καὶ Λεπαδόεσσαι Λεπαδοῦσσαι ἀπὸ τῶν κατ' αὐτὰς πλεοναζόντων. οὕτω δὲ καὶ ἄλλαι νῆσοι, αἱ μὲν Φυκοῦσσαι, αἱ δὲ Πιθηκοῦσσαι, αἱ δὲ Πιτυοῦσσαι

---

5 3 λαυινιᾶται R: -άται Q, λαβινιάται PN **6** 1 Λάβρανδα P^{pc}(αν supra scr.) ἐθνικὸν Ald.: τοπικόν RQPN **8** 1 Λάγινα R: -γνια Q, -γινία PN Ἀπολλώνιος Meineke: ἀπόλλωνος RQ, ἀπολλόδωρος PN 2 θηλυκῶς QP: -κὸν R, om. N 3 λαγίνεια QPN: -νια R **9** 1–2 Λαγοῦσσα … Λαγούσσιος Billerbeck: Λάγουσσα QPN, Λάγουσα R … λαγούσιος RQPN 1 νῆσος QPN: νή- R 2 λαγουσσαῖος V: λαγουσαῖος RQPN

5. Labinion (Lavinium), Stadt in Italien,[7] Gründung des Aineias. (C. Iulius) Iuba <erwähnt sie> im ersten Buch (FGrHist 275 F 11). <Benannt ist sie> nach Labinia, der Tochter des Königs <Latinos>. Das Ethnikon <lautet> Labiniat. Genannt werden <die Einwohner> auch Laviniaten.

6. Labranda, Dorf in Karien.[8] Strabon <erwähnt es> im vierzehnten Buch (14,2,23 [C 659,7]). Das Ethnikon <lautet> Labrandener und Labrandier und Labrandeer.

7. Lagaria, Fort in Sizilien in der Nähe von Thurioi, Gründung des Epeios und der Phoker, wie Strabon (6,1,14 [C 263,32]) <schreibt>.[9] Der Bürger <heisst> Lagaritaner, daher auch der ‚Lagaritaner Wein'.

8. Lagina, Kleinstädtchen in Karien.[10] Apollonios <erwähnt es> im sechzehnten Buch der *Karika* (FGrHist 740 F 13a). Das Ethnikon <lautet> Laginaier und Laginit sowie im Femininum <als Beiname der Hekate> Laginitis. Es gibt auch Lagineia in Bithynien.[11]

9. Lagussa, Insel bei Kreta. Strabon <erwähnt sie> im zehnten Buch (10,5,1 [C 484,30]).[12] Das Ethnikon <lautet> Lagussaier oder Lagussier.

---

[7] Vgl. unten λ 39; BTCGI 8,461–518.

[8] Zgusta, Kleinasiatische Ortsnamen § 666 (insb. zu Toponym und Ethnika); S. Hornblower, Mausolus (Oxford 1982) 309–312 (mit weiterführender Literatur).

[9] BTCGI 8,405–408; Radt, Kommentar 6,169. Wenn die süditalische Örtlichkeit hier in Sizilien lokalisiert ist, liegt weniger geographische Verwechslung vor als spezifischer Sprachgebrauch des Stephanos, worauf bereits Meineke (ad 570,8 mit Beispielen) aufmerksam machte („Siciliam de Campania et inferiore parte Italiae Stephanus dixit aliquoties"); einschränkende Bemerkungen dazu finden sich bei R. van Compernolle, Κύμη τῆς Σικελίας. Nota critica a Stefano di Bisanzio e Eustazio di Tessalonica, ASSO 49 (1953) 20–29.

[10] Identisch mit Hekatesia (ε 25); Zgusta, Kleinasiatische Ortsnamen § 668 und § 670; IK 68 Stratonikeia, Teil III,1–4 (mit weiterführender Literatur).

[11] Jones, The cities of the eastern Roman provinces 165 f. mit Anm. 36.

[12] Wohl mit der Kykladeninsel Kardiotissa zu identifizieren, s. Radt, Kommentar 7,226. Die Schreibweise -σ-/-σσ- in diesem Namen verschiedener Inseln war offenbar umstritten (s. RE XII 1,464 f.) und schwankt entsprechend in der Überlieferung. Ausschlaggebend für die hier befolgte Orthographie ist einerseits das Strabonzitat, wo der Palimpsest (P/Π) λαγουσσα bietet, von Korais und Radt folgerichtig als Λαγοῦσσα interpretiert; vgl. St. Byz. α 315 mit Anm. 452. Andererseits spricht die Diskussion bei Eust. ad Β 625 (s. Similia) deutlich für Schreibung mit -σσ-, so auch bei Ath. 1,30d (Λαγοῦσσαι νῆσοι).

10 Λάδεστα ἢ **Λάδεστον**· μία τῶν Λιβυρνίδων νήσων. Θεόπομπος κα Φιλιππικῶν (FGrHist 115 F 131). τὸ ἐθνικὸν Λαδεστανός, ὡς τῆς Αὐγούστας Αὐγουστανός.

406 **11 Λαδεψοί** καὶ Τρανιψοί· ἔθνη Θυνῶν. Θεόπομπος η Ἑλληνικῶν (FGrHist 115 F 16).

12 Λάδη· νῆσος Αἰολίδος. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 241). τὸ ἐθνικὸν Λαδαῖος.

5 **13 Λαδισακίτης κόλπος**· ἐν τῇ Περσικῇ θαλάσσῃ. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς (1,18 [GGM 1,528,16]).

14 Λάεια· πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 251). ὁ πολίτης Λαΐτης, ὡς Παυσανίας φησὶ ε (FGrHist 854 F 13).

15 Λαέρτης· Κιλικίας χωρίον. Στράβων ιδ (14,5,3 [C 669,24]).
10 Ἀλέξανδρος (FGrHist 273 F 123) δὲ „καὶ ὄρος καὶ πόλις" φησί. τὸ ἐθνικὸν Λαερτῖνος. ἄμεινον δὲ Λαέρτιος.

16 Λαζοί· Σκυθῶν ἔθνος. ἔστι καὶ χωρίον Παλαιὰ Λαζική, ὡς Ἀρριανός (Peripl. M. Eux. 18,4).

17 Λαιαῖοι· ἔθνος Παιονικόν. Θουκυδίδης β (2,96,3).

---

11 X. An. 7,2,32 Μαισάδης ἦν μοι πατήρ, ἐκείνου δὲ ἦν ἀρχὴ Μελανδῖται καὶ Θυνοὶ καὶ Τρανίψαι Hsch. τ 1247 Τρανιψοί· ἔθνος Θρᾴκιον, sed Theognost. An. Ox. 2,77,2 Τράνιψος τὸ ἔθνος cf. etiam St. Byz. θ 75 (Θυνία, cum adn. 81) **12** de insula prope Miletum sita cf. Hdt. 6,7 ἡ δὲ Λάδη ἐστὶ νῆσος μικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη; Str. 14,1,7 (C 635,29) Plin. nat. 5,135 *Ioniae ora Aegeas et Corseas habet et Icaron, de qua dictum est, Laden, quae prius Late vocabatur* **15** Str. 14,5,3 (C 669,24) εἶτα Λαέρτης, φρούριον ἐπὶ λόφου μαστοειδοῦς ὕφορμον ἔχον; Stad. 206 (GGM 1,487,6) ἀπὸ τῶν Ναύλων ἐπὶ χωρίον λεγόμενον Λαέρτην ἐπὶ θαλάσσης στάδιοι τκ. Ἀπὸ Λαέρτου εἰς Κορακήσιον στάδιοι ρ **16** Arr. Peripl. M. Eux. 11,2 Λαζοί, sed Ptol. Geog. 5,10,5 (5,9,4) Λᾶζαι Sch. Lyc. (Tzetzes) 1312 οἱ δὲ Κόλχοι ἔθνος ἐστὶ Λαζικόν; Suid. κ 1979 Κολχική· ἡ Λαζική Arr. Peripl. M. Eux. 18,4 Ἐνθένδε εἰς τὴν καλουμένην Παλαιὰν Λαζικὴν εἴκοσιν καὶ ἑκατὸν στάδιοι **17** Th. 2,96,3 ἀνίστη (sc. Σιτάλκης) δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικὰ ὧν ἦρχε καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν· μέχρι γὰρ Λαιαίων Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκόμβρου ὄρους δι' Ἀγριάνων καὶ Λαιαίων ῥεῖ, {οὗ} ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη; cf. etiam 2,97,2

---

10 1 λιβυρνίδων QPN: λυβιρ- R **11** 1 Λαδεψοὶ QPN: Λάδεψοι R τρανιψοὶ PN: τράνιψοι R, τρανιψοι (sine acc.) Q θυνῶν RQ: βιθυνῶν PN **12** 1 αἰολίδος QPN: αἰωλίας R, quod ex Ἰωνίας corruptum esse susp. Meineke **15** 2 πόλις RQ: πο^{λ} PN, πόλιν Ald. 3 λαερτῖνος RQPN: Λαερτηνός Meineke **16** 1 ἔθνος. ἔστι καὶ χωρίον παλαιὰ Holste (qui tamen ex Arr. ἐν πόντῳ post χωρίον add.): ἔθνος ἔστι καὶ cum spat. ca. 2–3 litt. λαιὰ PN, spat. ca. 10 litt. λαιὰ RQ λαζική QPN: λαζήκοί R **17** Λαιαῖοι Meineke (mon. Westermann, e Th.): Λαΐνοι R, post Λαι spat. ca. 11 litt. indic. Q, Λαϊνοι (sine acc.) P, Λάϊνοι N παιονικὸν P^{pc}N: παιωνικόν R, παιονικὴ QP^{ac}

10. Ladesta oder **Ladeston**, eine der libyrnischen Inseln.[13] Theopomp <erwähnt sie> im einundzwanzigsten Buch der *Philippika* (FGrHist 115 F 131). Das Ethnikon <lautet> Ladestaner, wie zu Augusta Augustaner.

11. Ladepser und Tranipser,[14] Stämme der Thyner. Theopomp <erwähnt sie> im achten Buch der *Hellenika* (FGrHist 115 F 16).

12. Lade, Insel <vor der Küste> der Aiolis.[15] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 241). Das Ethnikon <lautet> Ladaier.

13. Ladisakitischer Meerbusen, am Persischen Meer. Markianos <erwähnt ihn> in dessen *Periplus* (1,18 [GGM 1,528,16]).[16]

14. Laeia, Stadt in Karien. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 251). Der Bürger <heisst> Laït, wie Pausanias im fünften Buch (FGrHist 854 F 13) sagt.[17]

15. Laërtes, Örtlichkeit in Kilikien.[18] Strabon <erwähnt sie> im vierzehnten Buch (14,5,3 [C 669,24]). Alexander (Polyhistor) nennt <sie> jedoch (FGrHist 273 F 123) „sowohl Berg als auch Stadt“. Das Ethnikon <lautet> Laërtiner. Besser ist indes <die Bildung> Laërtier.[19]

16. Lazer, Volk der Skythen.[20] Es gibt auch eine Örtlichkeit <namens> Palaia Lazike, wie Arrian (Peripl. M. Eux. 18,4) <sagt>.

17. Laiaier, paionisches Volk.[21] Thukydides <erwähnt sie> im zweiten Buch (2,96,3).

---

13 Zu der nicht weiter belegten Insel s. RE XII 1,381.

14 Zur möglichen Identität der Tranipser mit den Nipsaiern (St. Byz. ν 69; 572,8) s. DNP 8,959 f.

15 Inventory S. 1060; Lohmann, Topographie des südlichen Ionien 204 f.

16 Eine mögliche Verwechslung mit dem von Markianos erwähnten Mesanitischen Golf (St. Byz. μ 152), so K. Müller ad loc.

17 Eine Stadt dieses Namens ist sonst nicht bekannt; vgl. Zgusta, Kleinasiatische Ortsnamen § 674. Der Quellenhinweis auf das fünfte Buch des Pausanias, der die aiolischen Elaiten erwähnt (24,6), deutet darauf hin, dass hier Verwechslung mit dem karischen Elaia vorliegt; anders Jacoby, der die Notiz als unsicheres Fragment dem Geographen Pausanias aus Antiocheia (FGrHist 854 F 13) zuweist.

18 TIB 8,2,678 f.

19 Wie Meineke vermerkt, passt die für italische Ethnika typische Bildung auf -ῖνος schlecht zur kleinasiatischen Örtlichkeit; zu erwarten ist vielmehr Λαερτηνός. Die Form Λαέρτιος hat eine Stütze in δ 133 Λαέρτιος Διογένης, hingegen bleiben Λαερτιεύς (St. Byz. 695,7) und Λαερτ(ε)ίτης (LAGM 2,152) unerwähnt. Zur Diskussion über Laertes als möglichem Heimatort des Philosophiehistorikers Diogenes s. Radt, Kommentar 8,113.

20 Vgl. St. Byz. α 577 Ἀψίλαι· ἔθνος Σκυθικὸν γειτνιάζον Λαζοῖς; zu deren Beziehungen mit den Byzantinern ausführlich D. Braund, Georgia in Antiquity (Oxford 1994) 262–314.

21 Zur Prägung ΛΑΙΑΙ s. Head, HN² 202.

15 **18 Λαιστρυγόνες**· πρῶτοι μετὰ Κυκλώπων ᾤκησαν Σικελίαν. Θουκυδίδης ϛ̄ (6,2,1). λέγεται καὶ Λαιστρυγονίς καὶ Λαιστρυγόνιος <καὶ> οὐδετέρως καὶ θηλυκῶς.

19 Λακεδαίμων· πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ, ἣ Σπάρτη
407 πρότερον, ἀπὸ Σπαρτοῦ τοῦ Ἀμύκλαντος τοῦ Λέλεγος τοῦ Σπαρτοῦ, ἢ διὰ τὸ τοὺς πρώτους συνοικίσαντας τὴν πόλιν Λέλεγας. διεσπαρμένους γὰρ εἰς ταὐτὸ συνελθεῖν καὶ μίαν οἴκησιν ποιήσασθαι. Λακεδαίμονα δὲ
5 οἱ μὲν ἀπὸ Λακεδαίμονος, ἢ ὅτι μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον 5 συνθεμένων κλήρῳ διανείμασθαι τὴν χώραν καὶ τὸν λαχόντα πρῶτον ταύτην λαβεῖν καὶ Λαχεδαίμονα κληθῆναι. ἔστι καὶ ἑτέρα Λακεδαίμων
10 Κύπρου μεσόγειος. ὁ πολίτης Λακεδαιμόνιος. καὶ κτητικὸν Λακεδαιμονικός. λέγεται καὶ κατὰ συγκοπὴν Λάκων, ὡς Ἀπολλόδωρός (FGrHist 244 F 194) φησιν, ὡς τοῦ Κυδωνιᾶται τὸ Κύδωνες. ἔοικε δὲ 10 πρωτότυπον εἶναι καὶ οὐ συγκοπή. τινὲς δὲ τὸ Λάκων ὑποκοριστικόν
15 φασιν, οὗ τὸ θηλυκὸν Λάκαινα καὶ κτητικὸν Λακωνικός, καὶ Λακωνική τὸ θηλυκόν, ὃ καὶ εἶδος ὑποδήματος. ἔστι καὶ ὄρχησις Λακωνική, ὡς ἐν τῷ περὶ Μαντινείας εἰρήσεται. εἰσὶ καὶ μάστιγες Λακωνικαί. ἔστι καὶ εἶδος κλειδὸς Λακωνικῆς. καὶ οὐδέτερον τὸ Λακωνικὸν σιδήριον· 15
20 στομωμάτων γὰρ τὸ μὲν Χαλυβδικόν, τὸ δὲ Σινωπικόν, τὸ δὲ Λύδιον, τὸ

---

18 Th. 6,2,1 παλαίτατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας (i.e. Siciliae) Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν οὔτε ὁπόθεν ἐσῆλθον ἢ ὅποι ἀπεχώρησαν; Str. 1,2,9 (C 20,23) καὶ γὰρ τὸν Αἰόλον δυναστεῦσαί φασι τῶν περὶ τὴν Λιπάραν νήσων· καὶ τῶν περὶ τὴν Αἴτνην καὶ Λεοντίνην Κύκλωπας καὶ Λαιστρυγόνας ἀξένους τινάς de possessivo cf. Od. 10,82 Τηλέπυλον Λαιστρυγονίην; Polyaen. 5,6,1 διὰ τοῦ Λαιστρυγονίου πεδίου Hsch. λ 162 Λαιστρυγονίη· ἡ τῶν Λαιστρυγόνων πόλις; Suid. λ 203 Λαιστρυγονία· πόλις et λ 204 Λαιστρυγόνος· ὄνομα πόλεως **19** de nominis origine Eust. ad Β 582 (I 454,23) ἕτεροι δέ φασιν, ὅτι Λακεδαίμων πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ, ἡ Σπάρτη πρότερον ἀπὸ Σπάρτου, υἱοῦ Ἀμύκλαντος, ἢ διότι Λέλεγες οἱ πρῶτοι συνοικήσαντες τὴν πόλιν διεσπαρμένοι τὸ πρίν, εἶτα ἐκεῖ συνῆλθον καὶ ᾤκησαν εἰς ταὐτό· οἱ δέ τινες χωρίον φασὶ τὴν Σπάρτην Λακωνικόν, κληθὲν ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, οἳ ἐκπεσόντες εἰς τὴν Λακωνικὴν ἀφ᾽ ἑαυτῶν τὴν Σπάρτην ὠνόμασαν; etiam ad Β 581 (I 452,29) Ἡ μὲν Λακεδαίμων ἀπὸ Λακεδαίμονος ὠνόμασται, οὗ υἱὸς Ἀμύκλας, ἢ διότι συνθέμενοι κλήρῳ διανείμασθαι τὴν χώραν Ἡρακλεῖδαι ἐποίησαν οὕτω καὶ ὁ λαχὼν πρῶτος λαβὼν ταύτην ἐκάλεσεν ἀπὸ τοῦ πράγματος, ὅθεν Λαβεδαίμων ἢ Λαχεδαίμων, διότι ἀγαθῷ δαίμονι, τουτέστι τύχῃ, ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχών, καὶ τροπῇ τοῦ

---

18 1 Λαιστρυγόνες RPN: post Λαιστρυγόν spat. ca. 3 litt. indic. Q ὤκησαν QPN: ᾤκισαν R 2 λαιστρυγόνιος PN: λαιστρυγόνιοι RQ καὶ suppl. Meineke **19** 1 ἐνδοξοτάτη (ex -ωτάτη) R πελοποννήσω RP: -πονήσω QN 2 σπαρτοῦ PN: σπάρτου RQ 3 τὸ secl. Meineke in app. συνοικίσαντας QPN: -ήσαντας R λέλεγας R[pc](ex λέγα) 4 γὰρ RQ: om. PN ταὐτὸ Berkel: ταὐτὸν RQPN 5 Ἡρακλειδῶν Berkel (ex Eust.): -κλείων RQPN 6 πρῶτον R: πρώτην QPN 7 {καὶ} Λαχεδαίμονα Meineke in app. 10 κυδωνιᾶται R: κυδωνιάται QPN 11 ὑποκοριστικόν R: ὑποκοριστικῶς QPN 12 λακωνική R[pc](ex -κο-) 13 ὃ καὶ om. QPN 15 σιδήριον PN: σίδηρον RQ 16 στομωμάτων (ex στομάτων) R χαλυβδικόν QPN: χαλκιδικὸν R

18. Laistrygonen, als erste haben sie mit den Kyklopen Sizilien besiedelt.[22] Thukydides <erwähnt sie> im sechsten Buch (6,2,1). <Im Femininum> sagt man auch Laistrygonidin, und <das Ktetikon lautet im Maskulinum> laistrygonischer und <begegnet auch> im Neutrum und im Femininum.

19. Lakedaimon,[23] Stadt, welche von den <Städten> auf der Peloponnes die berühmteste ist. Sie <hiess> früher Sparta, <benannt entweder> nach Spartos, dem Sohn des Amyklas, des Sohnes des Lelex und Enkels des Spartos, oder weil die ersten Siedler der Stadt Leleger gewesen seien.[24] Denn als Verstreute seien sie ebendort zusammengekommen und hätten eine einzige Wohnstätte geschaffen. Lakedaimon hingegen, <sagen> die einen, <heisse die Stadt> entweder nach einem <gewissen> Lakedaimon, oder weil nach der Rückkehr der Herakliden, die übereingekommen seien, das Land durch Verlosung aufzuteilen, derjenige, welcher als erster das Los gezogen (τὸν λαχόντα πρῶτον), dieses erworben habe, und es <davon> den Namen Lachedaimon habe.[25] Es gibt zudem ein anderes Lakedaimon, im Binnenland Zyperns <gelegen>. Der Bürger <heisst> Lakedaimonier. Und das Ktetikon <lautet> lakedaimonischer. Auch bildet man unter Verkürzung <der Silbenzahl> Lakone, wie Apollodor (FGrHist 244 F 194) sagt, wie aus Kydoniaten die <verkürzte Form> Kydonen <hervorgehe>. Anscheinend ist <Kydone> jedoch ein Stammwort und keine Verkürzung. Einige bezeichnen dagegen das <Ethnikon> Lakone als Kosenamen, dessen <zugehöriges> Femininum Lakainerin und das Ktetikon lakonisch <lautet>;[26] dazu gehört das Femininum Λακωνική, was auch eine Sandalenart <bezeichnet, Λακωνικὴ κρηπίς>. Es gibt ferner den ‚Lakonischen Reigentanz', wie im Artikel über Mantineia gesagt werden wird.[27] Zudem gibt es die ‚Lakonischen Peitschen', ferner die Sorte ‚Lakonischer Schlüssel' und als Neutrum ‚Lakonisches Eisen';[28] zu den Stahlarten <gehören> nämlich der chalybdische, der

---

22 Zu alternativen, freilich bisweilen geradezu phantastischen Lokalisierungsversuchen s. RE Suppl. V 539 f.

23 Inventory Nr. 345 sowie P. Cartledge, Sparta and Lakonia. A regional history 1300–362 BC (London/New York ²2002), insb. 77–79 (zum archäo-metallurgischen Befund).

24 Zu Gründungsmythos und Besiedelung s. L. Thommen, Das Territorium des frühen Sparta in Mythos, Epos und Forschung, in: Ders./A. Luther/M. Meier (Hg.), Das Frühe Sparta (Stuttgart 2006) 15–28.

25 Zum Mythos der Landverlosung s. N. Luraghi, The ancient Messenians. Constructions of ethnicity and memory (Cambridge 2008) 48–61.

26 Aufgrund der faktischen Unableitbarkeit von Λακεδαίμων aus Λάκων wird sich Stephanos hier am plausibelsten auf Κύδων bezogen und somit berechtigte Kritik an seinem älteren Grammatikerkollegen geübt haben; darüber wie zur hypokoristischen Form s. Dittenberger, Hermes 41 (1906) 195–197.

27 Vgl. unten μ 54, wo ein entsprechender Hinweis in der Epitome allerdings fehlt.

28 Trotz der gespaltenen Überlieferung kann insbesondere durch das Zeugnis des Eustathios der synonyme Gebrauch von σιδήριον für σίδηρον an der Stelle als abgestützt gelten.

408 δὲ Λακωνικόν. καὶ ὅτι Σινωπικὸν καὶ Χαλυβδικὸν εἰς τὰ τεκτονικά, τὸ δὲ Λακωνικὸν εἰς ῥίνας καὶ σιδηροτρύπανα καὶ χαρακτῆρας καὶ εἰς τὰ λιθουργικά, τὸ δὲ Λύδιον καὶ αὐτὸ εἰς ῥίνας καὶ μαχαίρας καὶ ξυρία καὶ
5 ξυστῆρας, ὥς φησι Δαίμαχος ἐν Πολιορκητικοῖς ὑπομνήμασι (FGrHist 65 F 4) {λέγων}. καὶ λακωνίζω καὶ λακωνιστής. λέγεται καὶ λακεδαιμονιάζω, ὡς Ἀριστοφάνης Βαβυλωνίοις (fr. 97 Kassel/Austin [PCG III 2,76]). λέγεται καὶ Λακεδαιμονάδε ἐπίρρημα. 20

20 Λακέρεια· πόλις Μαγνησίας. Ἑλλάνικος Δευκαλιωνείας α̅ (FGrHist 4 F 10 = fr. 10 Fowler). ἔστι καὶ τῆς Ἰταλίας ἄλλη. τὸ ἐθνικὸν
10 Λακερειεύς, καὶ Λακέρεια τὸ θηλυκὸν ὁμοφώνως τῷ πρωτοτύπῳ.

101 Str. 17,3,2 (C 825,21) οἰκοῦσι δ' ἐνταῦθα Μαυρούσιοι μὲν ὑπὸ τῶν Ἑλλήνων λεγόμενοι, Μαῦροι δ' ὑπὸ τῶν Ῥωμαίων καὶ τῶν ἐπιχωρίων, Λιβυκὸν ἔθνος μέγα καὶ εὔδαιμον, ἀντίπορθμον τῇ Ἰβηρίᾳ; Str. 2,5,33 (C 131,17) συνάπτουσι δ' οἱ Νομάδες αὐτῇ, τούτων δὲ τοὺς γνωριμωτάτους τοὺς μὲν Μασυλιεῖς, τοὺς δὲ Μασαισυλίους προσαγορεύουσιν· ὕστατοι δ' εἰσὶ Μαυρούσιοι D. P. 185 ἀγχοῦ στηλάων Μαυρουσίδος ἔθνεα γαίης cum Eust. ad loc. (p. 249,23) Ὅτι περὶ τὴν ἄκραν γλωχῖνα, ὃ ἔστι γωνίαν, τοῦ ῥηθέντος Λιβυκοῦ τραπεζίου σχήματος, ἀγχοῦ τῶν Στηλῶν οἰκοῦσιν οἱ Μαυρούσιοι, οὓς καὶ Μαύρους οἱ Ῥωμαῖοι ἔλεγον **102** St. Byz. α 469 Ἀσαί· κώμη Κορίνθου. Θεόπομπος λ̅β̅ Φιλιππικῶν (FGrHist 115 F 173) „Ἀσαὶ καὶ Μαυσὸς κῶμαι μεγάλαι καὶ πολυάνθρωποι" **104** J. BJ 1,161 ὁ δὲ δείσας πρὸς τὴν ἔφοδον δύναμίν τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας χιλίους δὲ καὶ πεντακοσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν (sc. Ἀλέξανδρος) Ἀλεξάνδρειόν τε καὶ Ὑρκάνειον καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσιν; J. BJ 1,167 τὰ συλληφθέντα φρούρια … Ὑρκάνειον καὶ Μαχαιροῦντα J. BJ 2,486 καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ κρατυνάμενοι κατεῖχον οἱ Μαχαιρῖται

---

101 2 παρθικῶν RN: παρθενικῶν QP θηλυκὸν (θ ex ε) N: ἐθνικὸν RQP Ald. **103** 1 Κᾶρες Ald.: κάρες RQPN Μαυσώλου Meineke (cf. St. Byz. 55,18): -σωλοῦ RQPN 2 μαυσώλων R: -σωλῶν QPN **104** 2 ὤφειλεν <Μαχαιρούντιος> Berkel (sed cf. St. Byz. 628,10) ἱερουχούντιος N post **104** τέλος τοῦ λ̅ βιβλίου. βιβλίον λ̅α̅ R

101. Maurusier und **Mauren**, grosses Volk Libyens,[119] wie (C. Asinius) Quadratus im ersten Buch der *Parthika* (FGrHist 97 F 6) <angibt>. Das Femininum <lautet> Μαυρουσίς (maurusische <Erde>, Maurusidin).[120]

102. Mausos, Dorf im Gebiet von Korinth.[121] Theopomp <erwähnt es> im zweiunddreissigsten Buch <der *Philippika*> (FGrHist 115 F 174). Das Ethnikon <lautet im Plural> Mauseer.

103. Mausoler, <so heissen> die Karer, <benannt> nach Mausolos.[122] Demosthenes <sagt> im zehnten Buch der *Bithyniaka* (FGrHist 699 F 8 = fr. 7 Powell): „Kunstwerke der Mausoler".

104. Machairus, Festung in Iudaia, wie Iosephos (AJ 14,89 und 18,111; BJ 1,161. 167, usw.) <angibt>.[123] Das Ethnikon sollte <Machairuntier lauten, gebildet> wie Hierichuntier. <Iosephos> selbst nennt die Bewohner aber Machairiten.[124]

---

[119] Die Bewohner von Maurusien, bei den Römern Mauretanien genannt; s. Anm. 118 zu μ 100.

[120] Das in den Hss RQP einhellig überlieferte τὸ ἐθνικὸν Μαυρουσίς, das N sinngemäss zu τὸ θηλυκὸν Μαυρουσίς (vgl. D. P. 185 Μαυρουσίδος γαίης) korrigierte, verrät möglichen Textverlust. So ergänzte Holste τὸ ἐθνικὸν <Μαυρούσιος καὶ θηλυκὸν> Μαυρουσίς; zur Nennung von Völkername im Lemma und (gleichem) Ethnikon im Artikel selbst vgl. St. Byz. α 347, 525,11, 534,7.

[121] Zur Lage s. Inventory S. 466.

[122] S. dazu S. Hornblower, Mausolus (Oxford 1982) 335 f. mit Anm. 20 sowie 357 mit Anm. 37.

[123] DNP 7,621 (mit weiterführender Literatur); Keel/Küchler, Orte und Landschaften der Bibel 2,449 f.

[124] Zu den Ethnika mit Endung auf -ούντιος bei Toponymen auf -οῦς vgl. St. Byz. α 37 sowie ο 28, ο 52 in diesem Band.

20 **105 Μεγάλη πόλις·** <πόλις> Ἀρκαδίας, ἣν συνῴκισαν ἄνδρες
438 Ἀρκάδες μετὰ τὰ Λευκτρικά. ἐκαλεῖτο δὲ κατὰ τὸ ἥμισυ μέρος Ὀρεστία,
ἀπὸ τῆς τοῦ Ὀρέστου παρουσίας. οἱ δὲ πολῖται Ὀρέστιοι καὶ Μεγα-
λοπολῖται. ἀφ' ἧς Κερκίδας ἄριστος νομοθέτης καὶ μελιάμβων ποιητής,
5 καὶ Αἰνησίας περιπατητικὸς ὁ Θεοφράστου μαθητής, καὶ Ἀκεστόδωρος 5
περὶ πόλεων συγγεγραφώς, καὶ Πολύβιος μ̄ βιβλία συγγράψας. οὗτοι
Μεγαλοπολῖται. τὸ κτητικὸν Μεγαλοπολιτικός. β̄ ἔστι καὶ ἄλλη πόλις
Καρίας, ἡ νῦν Ἀφροδισιάς, ἡ πρότερον Λελέγων πόλις. καὶ διὰ τὸ
10 μέγεθος ἐκλήθη Μεγαλόπολις. ὠνομάσθη δὲ καὶ Νινόη ἀπὸ Νίνου. ὁ
πολίτης Νινοήτης. ἔστι καὶ Ἰβηρίας Μεγάλη πόλις, ὡς Φίλων 10
(FGrHist 790 F 43). ἔστι καὶ Μεγάλη νῆσος ἡ νῦν Λυκίας.

---

105 Paus. 8,27,8 συνῳκίσθη δὲ ἡ Μεγάλη πόλις ἐνιαυτῷ τε τῷ αὐτῷ καὶ μησὶν {τε} ὀλίγοις ὕστερον ἢ τὸ πταῖσμα ἐγένετο Λακεδαιμονίων τὸ ἐν Λεύκτροις, Φρασικλείδου μὲν Ἀθήνησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς ἑκατοστῆς ὀλυμπιάδος καὶ δευτέρας, ἣν Δάμων Θούριος ἐνίκα στάδιον de Cercida cf. Phot. Bibl. 151a14 μέντοι νομοθέτης Ἀρκάδων Κερκίδας συνταφῆναι αὐτῷ τὸ ᾱ καὶ β̄ τῆς Ἰλιάδος κελεύσειεν; D. L. 6,76 οἱ δὲ τὸ πνεῦμα συγκρατήσαντα, ὧν ἐστι καὶ Κερκιδᾶς ὁ Μεγαλοπολίτης {ἢ Κρής}, λέγων ἐν τοῖς μελιάμ-βοις οὕτως (fr. 1 Powell) de Polybio cf. Suid. π 1941 Πολύβιος· Λύκου υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, … . οὗτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μ̄ de urbe in Caria sita cf. St. Byz. ν 62

---

105 1 Μεγάλη πόλις· <πόλις> Ἀρκαδίας Pinedo (cf. St. Byz. 361,1; 380,8; 385,16, etc.): Μεγάλη· πόλις ἀρκαδίας RQ, Μεγάλη πόλις, ἀρκαδίας PN 1–2 συνώκισαν ἄνδρες ἀρκάδες PN: συνώκησαν ἀρκάδες R, συνώκισαν ἀρκάδες Q 2 λευτρικὰ Q 3 τοῦ ante Ὀρέστου om. PN οἱ δὲ πολῖται Q: οἱ δὲ πολίται PN, τὸ ἐθνικὸν R μεγαλοπολῖται RQ: -λίται PN 4 κερκίδας RQPN: Κερκιδᾶς Meineke (An. Alex. p. 388, cl. Ps.-Arc. 22,9) με-λιάμβων Meineke (An. Alex. p. 390): μηλιάμβων R, μιλιάμβων QPN, μιμιάμβων Xylander 5 Ἀκεστόδωρος Berkel: ἀκεσόδωρος RQPN 6 πολύβιος QPN: πολύδωρος R βυβλία R συγγράψας R: γράψας QPN 7 μεγαλοπολῖται RQ: -λίται PN 8 καρίας RQ: ἰκαρίας PN 8–9 καὶ διὰ τὸ μέγεθος ἐκλήθη Μεγαλόπολις om. PN 8 διὰ τὸ R: διὰ τοῦ Q 9 δὲ post ὠνομάσθη om. QPN 11 λυκίας QPN: λυκιὰς R

105. Megale Polis, Stadt in Arkadien, welche Arkader nach <der Schlacht> bei Leuktra durch Zusammenschluss gegründet haben. Ihre <südliche> Hälfte hiess indes Orestia, weil sich Orest dort aufgehalten hatte.[125] Die Bürger <heissen> Orestier und Megalopoliter. Aus dieser <Stadt stammten> Kerkidas, ein hervorragender Gesetzgeber und Meliambendichter,[126] der Peripatetiker Ainesias, ein Schüler des Theophrast, Akestodoros, der <eine Schrift> über Städte verfasst hat,[127] und Polybios, der Verfasser <einer Weltgeschichte> in vierzig Büchern. Alle diese Männer sind Megalopoliter. Das Ktetikon <lautet> megalopolitischer. Eine zweite, andere Stadt <dieses Namens> gibt es auch in Karien, das jetzige Aphrodisias, früher Legonpolis. Und wegen der Grösse nannte man sie Megalopolis. Man hat sie aber auch nach Ninos als Ninoë bezeichnet.[128] Der Bürger <heisst> Ninoët. Es gibt auch in Iberien <eine Stadt namens> Megale Polis, wie (Herennios) Philon (FGrHist 790 F 43) <angibt>.[129] Und es gibt eine Megale Nesos (Grosse Insel), die nun zu Lykien <gehört>.[130]

---

[125] Inventory Nr. 282. Zur Bezeichnung Orestia vgl. St. Byz. ο 89 Ὀρεστία· … . ἔστι καὶ ἄλλη ἐν Ἀρκαδίᾳ Ὀρεστία, ἣν Εὐδαίμων (RE VI 1,885 Nr. 8) καὶ Ὦρος (F 11 Billerbeck) διὰ τῆς ει διφθόγγου γράφουσι, τὴν Ὀρέστειαν, mit der dazugehörigen Anm. 133.

[126] RE XI 1,293–309. Wie der Kanon bei Ps.-Arc. 22,6 zeigt, war die Akzentuierung des Namens Κερκίδας/Κερκιδᾶς offenbar umstritten; zur hiesigen Schreibweise (so z. B. auch Harp. κ 40, Suid. κ 1399) s. RE XI 1,292 f.

[127] Zu Ainesias s. Dictionnaire des philosophes antiques A 66 (R. Goulet). Zu Akestodoros s. RE I 1,1166.

[128] S. dazu St. Byz. *ν* 62 (Νινόη).

[129] Möglicherweise identisch mit der bei Diodorus Siculus genannten karthagischen Stadt (20,8,2 τὴν ὀνομαζομένην Μεγάλην πόλιν, οὖσαν Καρχηδονίων); s. RE XV 1,141 Nr. 1.

[130] Wohl identisch mit Μεγίστη (μ 109); so auch TIB 8,2,721.

106 Μέγαρα· πόλις περὶ τὸν Ἰσθμόν, μέση Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας, ἧς ἐπίνειον ἡ Νίσαια. ἐκλήθη δὲ ἀπὸ Μεγαρέως
15 τοῦ Ἀπόλλωνος ἢ τοῦ Αἰγέως τοῦ Πανδίονος τοῦ Ἐρεχθέως τοῦ
439 Ἡφαίστου, ἢ διὰ τὸ τραχὺ τῆς χώρας. ὁ πολίτης Μεγαρεύς. ἀφ᾽ ὧν Θέογνις ὁ τὰς παραινέσεις γράψας. ἦν δὲ σχολὴ φιλοσόφων Μεγαρικῶν 5 λεγομένη, διαδεξαμένων Εὐκλείδην Μεγαρέα Σωκρατικόν, ὡς Στράβων θ̄ (9,1,8 [C 393,13]). τὸ θηλυκὸν ἐπὶ τῆς χώρας Μεγαρίς καὶ Μεγαρηίς. καὶ
5 κτητικὸν Μεγαρικός. οὕτω δὲ καὶ τοὺς Μεγαρικοὺς κεράμους διὰ τοῦ ε χρὴ λέγειν, οὐ διὰ τοῦ α, ὡς οἱ ἔμποροι τὴν ἄρχουσαν παραφθείροντες. τὰ τοπικὰ Μεγαρόθεν ἐκ τόπου, καὶ ἐν τόπῳ Μεγαροῖ ὡς Πυθοῖ. ἔστι 10 καὶ Μέγαρα ἐν Θετταλίᾳ. γ̄ ἐν Πόντῳ. δ̄ ἐν Ἰλλυρίδι. ε̄ ἐν Μολοσσίδι. ϛ̄ ἐν
10 Σικελίᾳ, ἡ πρότερον Ὕβλη, ἀπὸ Ὕβλωνος βασιλέως. καὶ Ὑβλαῖοι οἱ πολῖται.

107 Μεγαρικόν· πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς ε̄ (FGrHist 156 F 18 = Bith. fr. 4 Roos) „Ἀστακός τε καὶ Ἡραία καὶ τὸ Μεγαρικόν“. τὸ ἐθνικὸν Μεγαρικός.

---

106 de portu cf. St. Byz. ν 64 Νίσαια· ἐπίνειον Μεγαρίδος. καὶ αὐτὴ ἡ Μεγαρίς. ἀπὸ Νίσου τοῦ Πανδίονος   de Theognidis patria cf. Harp. θ 6 Θέογνις· … τοῦ δὲ ποιητοῦ Θεόγνιδος μνημονεύει Ἰσοκράτης ἐν ταῖς Πρὸς Νικοκλέα ὑποθήκαις (2,43)· οὗτος δ᾽ ἦν Μεγαρεύς, ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγάρων; cf. etiam Pl. Lg. 1,630a4 cum Sch. ad loc.   Str. 9,1,8 (C 393,12) Πολλαῖς δὲ κέχρηται μεταβολαῖς ἡ τῶν Μεγαρέων πόλις, συμμένει δ᾽ ὅμως μέχρι νῦν. ἔσχε δέ ποτε καὶ φιλοσόφων διατριβὰς τῶν προσαγορευθέντων Μεγαρικῶν Εὐκλείδην διαδεξαμένων ἄνδρα Σωκρατικὸν Μεγαρέα τὸ γένος; D. L. 1,17 Τῶν δὲ φιλοσόφων οἱ μὲν ἀπὸ πόλεων προσηγορεύθησαν, ὡς οἱ Ἠλειακοὶ καὶ Μεγαρικοὶ καὶ Ἐρετρικοὶ καὶ Κυρηναϊκοί· … (19) Μεγαρικῆς Εὐκλείδης Μεγαρεύς   de regione cf. e.g. Hdt. 9,14 χώρην τὴν Μεγαρίδα; Nic. fr. 74,14 δευτέρα Νισαίης Μεγαρηίδος; X. HG 5,4,18 τῆς Μεγαρικῆς   Μεγαρόθεν apud Ar. V. 57, Pl. Phd. 59c; Μεγαροῖ apud Ar. Ach. 758; cf. etiam Ar. Ach. 524 Μεγαράδε   de Megara Hyblaea cf. Th. 6,4,1 οἱ δ᾽ ἄλλοι ἐκ τῆς Θάψου ἀναστάντες Ὕβλωνος βασιλέως Σικελοῦ προδόντος τὴν χώραν καὶ καθηγησαμένου Μεγαρέας ᾤκισαν τοὺς Ὑβλαίους κληθέντας; Str. 6,2,2 (C 267,31) Μέγαρα τὴν Ὕβλαν πρότερον καλουμένην; cf. etiam St. Byz. 644,24 (Ὕβλαι)   **107** Plin. nat. 5,148 *sunt in ora amnes Aesius, Bryazon, …, promunturium, in quo Megarice oppidum fuit*

---

106 1 Μέγαρα QPN: Μεγάρα R   περὶ QPN: παρὰ R   ἰσθμὸν μέση R[pc]PN: ἰσθμὸν cum spat. ca. 3 litt. ση R[ac]Q   πελοπονήσου QPN   2 ἐπίνειον ἡ νίσαια R: ἐπίνειον cum spat. 1 litt. νισαία Q, ἐπίνειον κνισσαία P, ἐπίνειον κνισαία N   4 ἀφ᾽ ὧν RQ: ἀφ᾽ ἧς PN   5 θεόγνις P   6 διαδεξαμένων Berkel (e Str.): διαδεξαμένη RPN, διαδεξαμένην Q   9 περιφθείροντες Q   10 καὶ ante ἐν τόπῳ om. N   10–11 ἔστι καὶ PN: ἔστι τὰ RQ   11 γ̄ Q[pc]: τῇ RQ[ac]PN   ϛ̄ RQ: τ´ PN   12 τοῦ ante Ὕβλωνος add. Q   13 πολίται PN   **107** 2 ἀρριανὸς QP[pc]N: ἀρια- RP[ac] ἡραία RQ (cf. St. Byz. η 18): ἡράα PN   3 τὸ ἐθνικὸν Μεγαρικός Holste: ἔθνος μεγαρικός RQ, ἔθνος PN

106. Megara, Stadt auf dem Isthmos,[131] in der Mitte zwischen Peloponnes, Attika und Boiotien <gelegen>, deren Hafen Nisaia ist. Man hat <Megara> nach Megareus benannt, dem Sohn des Apollon oder dem Sohn des Aigeus, des Sohnes von Pandion, dem Sohn des Erechtheus und Enkel des Hephaistos; oder <die Stadt heisst so>, weil das Umland rau ist.[132] Der Bürger <heisst> Megareer. Aus diesem <Megara> stammte Theognis, der Verfasser von Mahngedichten (*Theognidea*).[133] Es gab dort eine Philosophenschule mit dem Namen Megariker, welche Nachfolger des Sokratikers Eukleides aus Megara waren, wie Strabon im neunten Buch (9,1,8 [C 393,13]) <berichtet>. Das Femininum zur Bezeichnung des Umlandes <lautet> Megaris und Megareïs. Und das Ktetikon <lautet> megarischer. So, also mit ε, ist auch ‚Megarische Tonware' zu schreiben, nicht mit α (d.h. Magarische), wie die Händler <es buchstabieren>, welche die erste Silbe verfälschen. Die Topika <lauten> für die Herkunft ‚aus Megara' (Μεγαρόθεν) und für den Ort ‚in Megara' (Μεγαροῖ), <gebildet> wie ‚in Pytho' (Πυθοῖ). Es gibt auch <eine Stadt namens> Megara in Thessalien. Eine dritte <befindet sich> am Schwarzen Meer, eine vierte in Illyrien, eine fünfte in <der epeirotischen Landschaft> Molossis.[134] Eine sechste <Stadt dieses Namens liegt> auf Sizilien, das frühere Hyble, nach dem König Hyblon <benannt>.[135] Und Hyblaier <heissen> die Bürger <dieser Stadt>.

107. Megarikon, Kleinstädtchen,[136] das zusammen mit den Bithynerstädten aufgelistet wird. <So sagt> Arrian im fünften Buch <der *Bithyniaka*> (FGrHist 156 F 18 = Bith. fr. 4 Roos): „Sowohl Astakos als auch Heraia und Megarikon". Das Ethnikon <lautet> Megariker.

---

[131] Inventory Nr. 225; DNP 7,1139–1142 mit einem Überblick über die Stadtgeschichte.

[132] Zum Toponym und den Namensbedeutungen immer noch nützlich RE XV 1,154–156. Zum Eponym Megareus s. Roscher, Lexikon II 2,2546 f.

[133] Zur alten Diskussion um Theognis' Heimatstadt (Megara oder Megara Hyblaea) s. H. Selle, Theognis und die Theognidea (Berlin/New York 2008) 27–36.

[134] Die vier Orte sind nicht weiter belegt; für die Stadt am Schwarzen Meer vermutet Meineke Identität mit Megarikon (μ 107).

[135] Megara Hyblaea genannt; dazu BTCGI 9,511–534.

[136] RE XV 1,217.

15 **108** **Μέγασα**· ὡς Γέρασα, πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει Ἀσίας (FGrHist 1 F 335) „ἐξ αὐτῆς σιτοφάγοι καὶ ἀροτῆρες“.

109 **Μεγίστη**· πόλις καὶ νῆσος τῆς Λυκίας, ὡς ὁ πολυίστωρ (FGrHist 273 F 129), ἀπὸ Μεγιστέως τινός. τὸ ἐθνικὸν Μεγιστεύς.

110 **Μεδεών**· Βοιωτικὴ πόλις. καὶ Φωκικὴ ἑτέρα. Στράβων θ̄ (9,2,26
20 [C 410,24]). ἐκλήθη δὲ ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου καὶ Ἠλέκτρας. τὸ ἐθνικὸν Μεδεώνιος. ἔστι καὶ τῆς Ἠπείρου πόλις καὶ κώμη.

111 **Μεδιολάνιον**· πόλις Ἀκυτανίας. οἱ οἰκοῦντες Μεδιολάνιοι.

440 **112** **Μεδιών**· πόλις πρὸς τῇ Αἰτωλίᾳ. Πολύβιος ιη̄ (18,40,5). τὸ ἐθνικὸν Μεδιώνιος.

113 **Μέδμασα**· πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 244). τὸ ἐθνικὸν Μεδμασεύς τῷ τύπῳ τῆς χώρας, ὡς Πηγασεύς.

---

108 cf. Hdt. 4,109,1 (de Scythiae Gelonis) γῆς τε ἐργάται καὶ σιτοφάγοι **109** Str. 14,3,7 (C 666,8) μεταξὺ δ' ἐν τῷ λεχθέντι παράπλῳ νησία πολλὰ καὶ λιμένες, ὧν καὶ Μεγίστη νῆσος καὶ πόλις ὁμώνυμος; cf. etiam Ps.-Scyl. 100,1 κατὰ ταῦτα νῆσός ἐστι Ῥοδίων, Μεγίστη de gentili cf. SGDI 4330 et 4333 **110** Eust. ad B 501 (I 408,27) Μεδεὼν δὲ ἀπὸ Μεδεῶνος, υἱοῦ Πυλάδου καὶ Ἠλέκτρας. ἔστι δέ, φασί, καὶ Φωκικὴ Μεδεὼν καὶ Ἠπειρωτική Str. 9,2,26 (C 410,24) Μεδεὼν δ' ὁ μὲν Φωκικὸς ἐν τῷ Κρισαίῳ κόλπῳ διέχων τῆς Βοιωτίας σταδίους ἑκατὸν ἑξήκοντα, ὁ δὲ Βοιωτιακὸς ἀπ' ἐκείνου †τα..μελαμπου† κέκληται, πλησίον δ' ἐστὶν Ὀγχηστοῦ ὑπὸ τῷ Φοινικίῳ ὄρει (ἀφ' οὗ καὶ μετωνόμασται Φοινικίς)· τῆς δὲ Θηβαίας καὶ τοῦτο λέγεται (ὑπό τινων δὲ τῆς Ἁλιαρτίας) καὶ Μεδεὼν καὶ Ὠκαλέα de Phocensium urbe cf. Paus. 10,3,2 αἱ δὲ ἄλλαι, πλήν γε δὴ Ἐλατείας, τὰ πρότερα οὐκ ἐπιφανεῖς ἦσαν, Τραχίς τε ἡ Φωκικὴ καὶ Μεδεὼν ὁ Φωκικὸς ...; Paus. 10,36,6 κεῖται μὲν δὴ ἡ πόλις κατὰ Μεδεῶνος τὰ ἐρείπια vir eponymus Μέδων appellatur apud Paus. 2,16,7 Phoceum gentile in inscriptionibus invenitur, cf. CID II 37,4; IG IX 1,32 **111** Str. 4,2,1 (C 190,17) τῶν δὲ Σαντόνων πόλις ἐστὶ Μεδιολάνιον; Ptol. Geog. 2,7,7 (2,7,6) Σάντονες, ὧν πόλις Μεδιολάνιον **112** Th. 3,106,2 καὶ διελθόντες τὴν Στρατίων γῆν ἐχώρουν διὰ τῆς Φυτίας καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσιν gentile apud Plb. 2,2,5–6; 2,3,6, etc. et in inscriptionibus, cf. IG IX 1^{2},2,209,5 et 388,1; SEG 25 (1971) Nr. 633 **113** St. Byz. κ 285 Κύρβασα· ὡς Πήδασα Μέδμασα, πόλις Καρίας Plin. nat. 5,107 *sex oppida contributa ei* (sc. Halicarnasso) *sunt a Magno Alexandro, Theangela, ..., Medmassa* (v.l. *Mednassa*)

---

108 1 Μέγασα QPN: Μάγασα R 2 ἀροτῆρες R **109** 1 ὁ om. QPN **110** 1 Μεδεών QPN (cf. Ps.-Arc. 16,16): Μεδέων R φοινικικὴ R 2 δὲ post ἐκλήθη om. RQ 3 ἔστι καὶ τῆς Ἠπείρου πόλις. καὶ κώμη <***> Meineke **111** Μεδιολάνιον R: Μεδιόλανον QPN **112** 1 Μεδιών Meineke dub. in app.: Μεδίων RQPN 2 μεδιώνιος (ex μεδε-) R: μεδεώνιος QP, μεδώνιος N **113** 1 Μέδμασα Holste (cf. St. Byz. κ 285; 520,12): Μέδμασος RQPN 2 μεμδασεὺς P

108. Megasa, wie Gerasa, Stadt in Libyen. Hekataios <erwähnt sie> in der *Periegese Asiens* (FGrHist 1 F 335): „Von dort <stammen> Leute, welche Brot essen und Äcker bebauen“.[137]

109. Megiste, Stadt und Insel <vor der Küste> Lykiens,[138] wie (Alexander) Polyhistor (FGrHist 273 F 129) <angibt>, nach einem gewissen Megisteus <benannt>. Das Ethnikon <lautet> Megisteer.

110. Medeon, boiotische Stadt;[139] zudem eine andere <dieses Namens> in Phokis.[140] Strabon <erwähnt beide> im neunten Buch (9,2,26 [C 410,24]). Benannt ist <die erstere> nach Medeon, dem Sohn des Pylades und der Elektra. Das Ethnikon <lautet> Medeonier. Es gibt auch in Epeiros eine Stadt <gleichen Namens> sowie ein Dorf.[141]

111. Mediolanion, Stadt in Aquitanien.[142] Die Einwohner <heissen> Mediolanier.

112. Medion, Stadt <in Akarnanien>,[143] zu Ätolien hin <gelegen>. Polybios <erwähnt sie> im achtzehnten Buch (18,40,5). Das Ethnikon <lautet> Medionier.

113. Medmasa, Stadt in Karien.[144] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 244). Das Ethnikon <lautet> nach Landesbrauch Medmaseer, <gebildet> wie Pegaseer.

---

137 Zum Ort s. Braun, Hecataeus’ knowledge 329. Meineke vermutet eine ursprüngliche Aufzählung verschiedener nomadischer und sesshafter Völker Libyens und rechnet mit Textausfall, „ἐξαῦτις (ἐξ αὐτῆς RQPN) Σιτοφάγοι καὶ Ἀροτῆρες, <εἶτα Μέγασα πόλις“. τὸ ἐθνικὸν Μεγασίτης.>. In der Tat sind für libysche Städte Ethnika auf -ίτης typisch, vgl. St. Byz. μ 5, μ 86, ν 65. Doch bilden Toponyme auf -ασα das Ethnikon meist auf -εύς, so δ 38 (Δέδμασα), κ 285 (Κύρβασα); so auch in der entsprechenden Glosse im sog. Lenormantschen *Lexicon geographicum* verzeichnet, FHG V p. LXVII,30 Μέγασα (cod. Μέγοσα)· Λιβύης. τὸ ἐθνικὸν Μεγασεύς (cod. μεγοσεύς). Im Gegensatz zur Angabe in RE Suppl. V 724,64 handelt es sich bei diesem Lexikon jedoch um eine Fälschung; s. J.H. Mordtmann, Hermes 17 (1882) 452–458 und Th. Mommsen, Hermes 17 (1882) 458 f.

138 TIB 8,2,721–725; vgl. auch oben μ 105.

139 Inventory S. 435. Zu Il. 2,501 Ὠκαλέην Μεδεῶνά τ’ ἐϋκτίμενον πτολίεθρον s. Visser, Homers Katalog der Schiffe 267 f.

140 Inventory Nr. 186; Freitag, Golf von Korinth 145 f.

141 Hammond, Epirus 809 vermutet Verwechslung mit Medeon in Akarnanien; zu jenem s. unten μ 112 (Μεδιών).

142 Heute Saintes im Departement Charente-Maritime; dazu Chr. Vernou/J.-F. Buisson, Saintes, in: L. Maurin (Hg.), Villes et agglomérations urbaines antiques du sud-ouest de la Gaule: histoire et archéologie (Bordeaux 1992) 154–163.

143 Inventory Nr. 129; s. oben Anm. 141.

144 Inventory Nr. 912; Zgusta, Kleinasiatische Ortsnamen § 748. Die karischen Toponyme im Neutrum Plural sowie vor allem die Analogie mit Πήγασα empfehlen Holstes Korrektur; mit Blick auf μ 237 Μύλασα/Μύλασος könnte auch hier mit Doppelform gerechnet werden, wie Meineke vermutet.

5 **114 Μέδμη·** πόλις Ἰταλίας καὶ κρήνη ὁμώνυμος. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 81). ἀπὸ Μέδμης κόρης τινός. ὁ πολίτης Μεδμαῖος. ὅθεν ἦν Φίλιππος ἀξιόλογος ἀνὴρ ὁ περὶ ἀνέμων γεγραφώς (test. 5 Lasserre). ἔστι καὶ ἑτέρα πόλις τῆς Λιγυστικῆς. ἐθνικὸν Μεδμαῖος.

115 Μεδυλλία· πόλις, Ἀλβανῶν κτίσις, Ῥωμαίων ἀποικία. Διονύσιος
10 γ̅ Ῥωμαϊκῆς ἀρχαιολογίας (3,1,2). τὸ ἐθνικὸν Μεδυλλῖνος.

116 Μεθουριάδες· νῆσοι μεταξὺ Αἰγίνης καὶ Ἀττικῆς πλησίον Τροιζῆνος. Ἀνδροτίων ε̅ Ἀτθίδος (FGrHist 324 F 21). τὸ ἐθνικὸν Μεθουριεύς.

15 **117 Μεθύδριον·** πόλις Ἀρκαδίας. ὁ πολίτης Μεθυδριεύς. ἔστι καὶ ἑτέρα πόλις Θεσσαλίας, ὡς Φίλων (FGrHist 790 F 44).

---

114 Str. 6,1,5 (C 256,22) ἐν δὲ τῷ παράπλῳ τούτῳ Μέδμα (A in marg., μέδαμα cett.), πόλις Λοκρῶν τῶν αὐτῶν, ὁμώνυμος κρήνῃ μεγάλῃ, πλησίον ἔχουσα ἐπίνειον καλούμενον Ἐμπόριον de Μεδμαῖος huius urbis gentili cf. Th. 5,5,3; D. S. 14,78,5 **115** D. H. 3,1,2 ἐκ πόλεως Μεδυλλίας, ἣν Ἀλβανοὶ μὲν ἔκτισαν, Ῥωμύλος δὲ κατὰ συνθήκας παραλαβὼν Ῥωμαίων ἐποίησεν ἀποικίαν; similiter D. H. 3,34,5 gentile apud D. H. 2,36,2 et 6,34,1 **116** Plin. nat. 4,57 *in Megarico sinu Methurides* **117** Paus. 8,12,2 ἐς Μεθύδριον δὲ πόλιν μὲν οὐκέτι, κώμην δὲ ἐς τὸ Μεγαλοπολιτικὸν συντελοῦσαν, et 8,36,1 ὁδὸς δὲ ἐκ Τρικολώνων ἐς αὐτὸ (sc. τὸ Μεθύδριον) στάδιοι τριῶν δέοντες τεσσαράκοντα καὶ ἑκατόν. ὠνομάσθη μὲν δὴ Μεθύδριον, ὅτι κολωνός ἐστιν ὑψηλὸς Μαλοίτα τε ποταμοῦ καὶ Μυλάοντος μέσος, ἐφ᾽ ᾧ τὴν πόλιν ὁ Ὀρχομενὸς ᾤκιζε· πρὶν δὲ ἢ συντελεῖν ἐς τὸ Μεγαλοπολιτικόν, γεγόνασι καὶ Μεθυδριεῦσιν ἀνδράσιν Ὀλυμπικαὶ νῖκαι

---

114 1 Μέδμη RQP^{pc}N: ()έμδη P^{ac} εὐρώπης Q 2 ἀπὸ Μέδμης κόρης Berkel: ἀπὸ μέδμης κρήνης P^{pc}(ex μέμδης)N, ἀπὸ δμὴς κρήνης R, ἀπόδμης κρήνης Q 3 ὁ ante Φίλιππος add. PN 4 τῆς λιγυστικῆς RP(alt. m.)N: lac. indic. om. Q ἐθνικὸν μεδμαῖος R: lac. indic. om. Q, om. PN **115** 1 Μεδυλλία P^{pc}N: Μελυλλία R(υ ex λ)QP^{ac} ἀλβανίας R κτίσις RP^{pc}N: lac. indic. om. QP^{ac} 2 γ̅ om. N **116** 1 Μεθουριάδες Berkel: -άδης RQPN ἀττικῆς RQPN: Ἀκτῆς dub. Meineke in app. τροιζῆνος PN (cf. St. Byz. α 130 et α 309 cum adnn. 160 et 441): τροίζηνος RQ 2 ἀνδροτίων R: spat. 4–5 litt. οτίων QPN **117** 1 δὲ καὶ PN 2 θεσσαλίας om. R φίλων RQP: φιλόξενος N

114. Medme, Stadt und Quelle gleichen Namens in Italien.[145] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 81). <Benannt sind sie> nach einem gewissen Mädchen <namens> Medme. Der Bürger <heisst> Medmaier. Von dort stammte Philipp, ein bemerkenswerter Mann, der über Winde geschrieben hat (test. 5 Lasserre).[146] Es gibt auch eine weitere Stadt <dieses Namens> in Ligurien. <Das> Ethnikon <lautet> Medmaier.[147]

115. Medyllia, Stadt, eine Gründung der Albaner, <später> eine Kolonie der Römer.[148] Dionysios <erwähnt den Ort> im dritten Buch der *Römischen Altertumskunde* (3,1,2). Das Ethnikon <lautet> Medylliner.

116. Methuriades, Inseln <mit Lage> zwischen Aigina und Attika in der Nähe von Troizen.[149] Androtion <erwähnt sie> im fünften Buch der *Atthis* (FGrHist 324 F 21). Das Ethnikon <lautet> Methurieer.

117. Methydrion, Stadt in Arkadien.[150] Der Bürger <heisst> Methydrieer. Es gibt auch eine andere Stadt <dieses Namens> in Thessalien, wie (Herennios) Philon (FGrHist 790 F 44) <angibt>.[151]

---

145 Auch Μέσμα (so Ps.-Scyl. 12; vgl. auch unten μ 155) und Μέδμα (Ps.-Scymn. 308) geschrieben; s. Inventory Nr. 60; BTCGI 17,1–51 (Rosarno).

146 Auf Identifikation mit dem bekannten Platonschüler Philipp aus Opus scheint ein, wenn auch sehr lückenhafter Eintrag in Philodems Platon-Vita (PHercul. 1021, col. III,35–36) hinzuweisen; s. dazu F. Lasserre, De Léodamas de Thasos à Philippe d'Oponte. Témoignages et fragments (Napoli 1987) 675 sowie 652 f. zum hiesigen Artikel.

147 Die Überlieferung hier ist sehr unsicher, ein ligurischer Ort Medme nicht weiter bekannt; s. BTCGI 9,509–511.

148 RE XV 1,117; zur Lage s. Th. Camous, Latomus 66 (2007) 578 f.

149 Die Lage ist unsinnig, befindet sich Troizen doch in der Argolis; entsprechend setzt Jacoby vor Τροιζῆνος eine Crux. Meineke hatte seinerseits Ἀκτῆς anstelle von Ἀττικῆς erwogen, wird doch der Küstenabschnitt zwischen Epidauros und Troizen so genannt; dies bringt zwar den hiesigen Text ins Lot, widerspricht aber der Lokalisierung der Inselgruppe im Megarischen Meerbusen gemäss Plin. nat. 4,57. Zu AP 7,496,4 (ἄγκεα νειφομένης ἀμφὶ Μεθουριάδος) s. Page, Further Greek Epigrams 289.

150 Inventory Nr. 283.

151 Ein thessalisches Methydrion ist nicht bekannt; es gab hingegen in Thessalien einen Ort namens Methylion, wie Münzen belegen (vgl. LAGM 2,170), sowie eine Stadt Euhydrium (vgl. Liv. 32,13,9).

118 Μεθώνη· πόλις Θρᾴκης. Μαγνησίας (Ὅμηρος [B 716] διὰ τοῦ η „οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο"). ὁ πολίτης Μεθωναῖος. ἔστι καὶ Μακεδονίας. ἐκλήθη ἀπὸ τοῦ μέθυ· πολύοινος γάρ ἐστι. καὶ τῆς Λακωνικῆς, ἧς τὸ ἐθνικὸν Μεθωναιεύς ὡς Κορωναιεύς. δ̄ ἐν Περσίδι. ε̄ Εὐβοίας.

119 Μελάγχλαινοι· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 185). κέκληνται ἀφ' ὧν φοροῦσιν, ὡς Ἱππημολγοί παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν, καὶ Μοσύνοικοι παρὰ τὰς οἰκήσεις.

---

118 Sch. b ad B 716 <Μηθώνην·> ἐξέτεινε τὴν ε εἰς η. Μεθῶναι δὲ τρεῖς, ἡ ἐν Μακεδονίᾳ, ἡ ὑπὸ Φιλοκτήτην καὶ ἡ περὶ Τροιζῆνα Eust. ad B 716 (I 512,17) τρεῖς δέ, φασί, Μεθῶναι, ἡ ἐν Μακεδονίᾳ, ἄποικος Ἐρετριέων, καὶ ἡ ὑπὸ τῷ Φιλοκτήτῃ καὶ ἡ περὶ Τροιζῆνα. … (512,25) ὁ δὲ τὰ Ἐθνικὰ γράψας Θρᾳκίαν καὶ αὐτὸς ἱστορεῖ Μεθώνην, ἔτι δὲ καὶ περὶ Μακεδονίαν, κληθεῖσαν οὕτω παρὰ τὸ μέθυ. πολύοινος γάρ, φησί. καὶ Λακωνικὴ δέ, φησί, Μεθώνη ἐστίν. αὕτη δὲ μέχρι καὶ εἰσάρτι φυλάσσει τὴν κλῆσιν ταύτην. ταύτης ὁ πολίτης Μεθωναιεύς, φησίν, ὡς Κορωναιεύς Str. 9,5,16 (C 436,30) Ἑξῆς δ' αἱ ὑπὸ Φιλοκτήτῃ πόλεις καταλέγονται. ἡ μὲν οὖν Μηθώνη ἑτέρα ἐστὶ τῆς Θρᾳκίας Μεθώνης, ἣν κατέσκαψε Φίλιππος de urbe in Pieria sita cf. etiam Str. 8,6,15 (C 374,32) μεταξὺ δὲ Τροιζῆνος καὶ Ἐπιδαύρου χωρίον ἦν ἐρυμνὸν Μέθανα καὶ χερρόνησος ὁμώνυμος τούτῳ. παρὰ Θουκυδίδῃ (4,45,2; 5,18,7) δὲ ἔν τισιν ἀντιγράφοις Μεθώνη φέρεται ὁμωνύμως τῇ Μακεδονικῇ, ἐν ᾗ Φίλιππος ἐξεκόπη τὸν ὀφθαλμὸν πολιορκῶν de urbe in Magnesia sita cf. etiam Ps.-Scyl. 65,1 ἔθνος ἐστὶ Μάγνητες παρὰ θάλατταν, καὶ πόλεις αἵδε· Ἰωλκὸς, Μεθώνη, … de urbe in Messenia sita cf. Th. 2,25,1 ἐς Μεθώνην τῆς Λακωνικῆς; similiter D. S. 11,84,6 et 12,43,2 **119** Hdt. 4,20,2 τὰ δὲ κατύπερθε πρὸς βορέην ἄνεμον τῶν Βασιληίων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε λίμναι καὶ ἔρημός ἐστι ἀνθρώπων, καθ' ὅσον ἡμεῖς ἴδμεν Hdt. 4,107 Μελάγχλαινοι δὲ εἵματα μὲν μέλανα φορέουσι πάντες, ἐπ' ὧν καὶ τὰς ἐπωνυμίας ἔχουσι, νόμοισι δὲ Σκυθικοῖσι χρέωνται; Mela 2,14

---

118 1–2 πόλις Θρᾴκης. Μαγνησίας (Ὅμηρος … ἐνέμοντο) per parenthesim Billerbeck, mon. Meineke, qui Μαγνησίας, <ἣν> Ὅμηρος … ἐνέμοντο in textum recepit: πόλις θράκης μακεδονίας· ὅμηρος RQ, πόλις μακεδονίας· ὅμηρος PN, πόλις θράκης· ὅμηρος Ald. 2 οἳ δ' ἄρα Ald. Hom. codd. (cf. etiam St. Byz. 307,3): οἳ περὶ RQPN μηθώνην QPN: μεθ- R 3 τοῦ ante μέθυ om. RQ 4 μεθωναιεύς Ald. (cf. Eust.): μεθωνεύς RQPN Κορωναιεύς Holste (cl. Eust.): κιρκωναιεὺς R, κιρωναιεὺς QPN **119** 2 κέκληνται RP[pc]N: κέκληται QP[ac] ἱππημολγοὶ R: ἱππο- QPN 2 hic et infra παρὰ RPN: περὶ Q 3 καὶ ante Μοσύνοικοι om. R μοσύνοικοι R (cf. adn. ad St. Byz. μ 212): μοσυνικοὶ QPN, Μοσσύνοικοι Xylander

118. Methone, Stadt in Thrakien.[152] Eine in <der Landschaft> Magnesia (Homer [Il. 2,716] <schreibt sie> mit η: „Und jene, welche Mêthone und Thaumakie bewohnten“).[153] Der Bürger <heisst> Methonaier. Es gibt auch <ein Methone> in Makedonien.[154] Man hat <diese Stadt> nach <dem homerischen Wort für> Wein (μέθυ) benannt; denn sie bringt viel Wein hervor. Ferner <gibt es> ein lakonisches <Methone>, dessen Ethnikon Methonaieer <lautet, gebildet> wie Koronaieer.[155] Ein viertes <liegt> in Persien, ein fünftes auf Euboia.[156]

119. Melanchlainer (Schwarzröcke), skythisches Volk.[157] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 185). Benannt sind sie nach ihrer Bekleidung, wie die Hippemolger danach, dass sie die Stuten melken (ἵππους ἀμέλγειν), und die Mosynoiker (Holzhäusler) nach ihren Behausungen.[158]

---

[152] Gemeint ist der Ort in der Landschaft Pieria, den man als thrakisch wie auch als makedonisch bezeichnete; s. RE XV 2,1385–1387 Nr. 7; Inventory Nr. 541; Papazoglou, Villes de Macédoine 30, 105 f.

[153] Es handelt sich um die Stadt in der thessalischen Landschaft Magnesia, welche Philoktet unterstand; s. Visser, Homers Katalog der Schiffe 685; Inventory Nr. 454. Die unsichere Überlieferung des arg gekürzten Artikels hat schon früh Kopfzerbrechen verursacht. Denn die beiden unverbunden nebeneinander stehenden Lokalisierungen Θρᾴκης Μακεδονίας, gefolgt von einer phonetischen Erklärung und dem entsprechenden Beleg aus Homer, welche sich eindeutig auf das magnesische Methone beziehen, anschliessend eine zweite Lokalisierung in Makedonien und daraus resultierend ein Überschuss (6) an gezählten (5) Städten weisen auf einen ungeordneten Kürzungsprozess hin. Dass Θρᾴκης als erste geographische Angabe gehalten werden muss, ergibt sich aus dem direkten Stephanos-Exzerpt bei Eustathios zu Il. 2,716 (s. Similia) sowie aus Strabon (9,5,16 [C 436,30]), der Methone in Thrakien klar von der gleichnamigen Stadt in Magnesia unterscheidet. Die Identität des thrakischen mit dem makedonischen Methone bleibt unerkannt; denn die lokalisierenden Bezeichnungen (Μακεδονίας/Θρᾴκης) sind in der einschlägigen Literatur schwankend und haben hier offensichtlich zur Verwirrung geführt.

[154] Identisch mit dem thrakischen Methone, s. oben Anm. 153.

[155] Zum Ort, auch Μοθώνη geschrieben (vgl. Ps.-Scyl. 46,1; Paus. 4,27,8. 35,1), s. Inventory Nr. 319; Visser, Homers Katalog der Schiffe 498–501. Anderweitig belegt ist ferner nur Μοθωναῖος (vgl. Paus. 4,35,3; LAGM 2,173).

[156] Örtlichkeiten namens Methone in Persien (dazu Cohen, Hell. settlements 3,190) und auf Euboia sind offenbar nicht weiter bekannt. Vier Orte mit Namen Methone soll der Grammatiker Demetrios von Magnesia in seinem Werk über gleichnamige Städte verzeichnet haben (so Harp. μ 15): Neben den in der Epitome aufgeführten Städten in Pieria, Magnesia und Messenien könnte er eine weitere in Argolis (vgl. Str. 8,6,15) genannt haben,

[157] Zu diesem Volk s. Asheri/Lloyd/Corcella, Commentary on Herodotus 594.

[158] Für die Namenserklärung der Hippemolger vgl. Suid. ι 540, EM 232,52, für jene der Mosynoiker (unten μ 212) vgl. Sch. A. R. 2,377–80.

120 Μέλαιναι· πόλις Ἀρκαδίας, ἀπὸ Μελαινέως τοῦ Λυκάονος, ὡς Παυσανίας (8,26,8). ὁ πολίτης Μελαινεύς, ὡς τῆς Ἡραίας Ἡραιεύς. Ῥιανὸς ἐν Ἠλιακῶν α̅ (FGrHist 265 F 8 = fr. 20 Powell) „Γόρτυν' Ἡραιάν τε πολυδρύμους τε Μελαίνας". εἰσὶ δὲ καὶ Λυκίας Μελαιναί πόλις, ὡς 10 Ἀλέξανδρος Λυκιακοῖς (FGrHist 273 F 62). δύναται τὸ ἐθνικὸν Μελαινίτης ὡς Κελαινίτης. 5

121 Μελαινεῖς· δῆμος Ἀντιοχίδος φυλῆς. Καλλίμαχος δὲ Μελαινάς φησι τὸν δῆμον ἐν Ἑκάλῃ (fr. 84 Hollis = fr. 266 Pfeiffer). ὁ δημότης ὁμοίως Μελαινεύς. τὸ θηλυκὸν Μελαινηίς. τὰ τοπικὰ ἐκ Μελαινέων εἰς 15 Μελαινέων ἐν Μελαινέων.

122 Μελάμπεια· πόλις Λυδίας, ἀπὸ Μελάμπου, ὡς Ξάνθος ἐν Λυδιακοῖς (FGrHist 765 F 27). τὸ ἐθνικὸν Μελαμπεύς ὡς Σελευκεύς Ἀλεξανδρεύς.

---

120 Paus. 8,26,8 κατὰ δὲ τὴν ἐξ Ἡραίας ἄγουσαν ἐς Μεγάλην πόλιν εἰσὶ Μελαινεαί (Sibelis, μελαίνεαι vel μελαινέαι codd.)· ταύτας ᾤκισε μὲν Μελαινεὺς ὁ Λυκάονος, ἔρημος δὲ ἦν ἐφ' ἡμῶν, ὕδατι δὲ καταρρεῖται. Μελαινεῶν (Sibelis, μελαινέων codd.) δὲ τεσσαράκοντά ἐστιν ἀνωτέρω σταδίοις Βουφάγιον **121** Et. Gud. 300,9 Sturz πᾶν γὰρ ὄνομα μονοσύλλαβον ἐν τῇ συνθέσει βαρύνεται. οἷον, χθὼν αὐτόχθων, …, χωρὶς τοῦ πτώξ πολυπτώξ, ὡς παρὰ Καλλιμάχῳ (Hec. fr. 84 Hollis = fr. 266 Pfeiffer)· „πολυπτῶκές τε Μελαιναί". Μελαιναὶ δέ εἰσι τόπος τῶν Ἀττικῶν gentile invenitur in IG II/III[2] 2,2,1602,14

---

120 1 Μέλαιναι QPN: Μελαιναί R 2 μελαινεεὺς R 3 Ἠλιακῶν Holste (cf. St. Byz. ν 85): ἰλ- RQPN Γόρτυν' Gavel: γόρτυναν RQPN 3–4 Ἡραιάν τε Meineke: ἡραίαντε RQPN 4 πολυδρύμους Salmasius: πολυδρόμους RPN, πολυδρομούς Q μελαίνας RQPN: Μελαινάς Meineke πόλις (ex -εις) R 5 δύναται (ex -ται καὶ ut vid.) P **121** 2 ἐν Ἑκάλῃ Salmasius: καὶ κε κάλη R, εκεκαλη Q, κεκλῆσθαι PN 2–3 ὁ δημότης ὁμοίως PN: ὁ δῆμος ὁμος (sine acc.) ὁμοίως R, ὁ δῆμος ὁμοίως Q 3 θηλυκὸν RQP: ἐθνικὸν N 3–4 Μελαινέων ter Somazzi: μελαινῶν ter PN, μελαινῶν … μέλαινον … μελαινῶν RQ **122** 1 Λυδιακοῖς Salmasius: λυκιακοῖς RQPN

120. Melainai, Stadt in Arkadien,[159] <benannt> nach Melaineus, dem Sohn des Lykaon, wie Pausanias (8,26,8) <angibt>. Der Bürger <heisst> Melaineer, wie zu Heraia Heraieer. Rhianos <sagt> im ersten Buch der *Eliaka* (FGrHist 265 F 8 = fr. 20 Powell): „Gortys und Heraia und das stark bewaldete Melainai". Es gibt aber auch eine lykische Stadt Melainai, wie Alexander (Polyhistor) in den *Lykiaka* (FGrHist 273 F 62) <angibt>.[160] Das Ethnikon kann Melainit <lauten, gebildet> wie Kelainit.

121. Melaineis, Demos der Phyle Antiochis.[161] Kallimachos hingegen nennt den Demos in der *Hekale* (fr. 84 Hollis = fr. 266 Pfeiffer) Melainai. Der Demot <heisst wie der Demos> gleichermassen Melaineer. Das Femininum <lautet> Melaineïdin. Die Topika <lauten> ‚aus dem Melaineer<-Demos>' (ἐκ Μελαινέων), ‚in den Melaineer<-Demos>' (εἰς Μελαινέων), ‚im Melaineer<-Demos>' (ἐν Μελαινέων).[162]

122. Melampeia, Stadt in Lydien, nach Melampos <benannt>, wie Xanthos in den *Lydiaka* (FGrHist 765 F 27) <angibt>.[163] Das Ethnikon <lautet> Melampeer, wie Seleukeer, Alexandreer.

---

159 Inventory S. 507; s. auch Jost, Sanctuaires et cultes d'Arcadie 74, 77. Unsicher bleiben Schreibweise und Akzent des Toponyms. Pausanias nennt den Ort Melaineai, wobei in den Hss die Akzentuierung zwischen Μελαίνεαι und Μελαινέαι schwankt; die Variante Melainai bei Rhianos führt E. Meyer (RE XV 1,388,47) auf metrischen Zwang zurück. Die bei Stephanos beliebte Analogie mit dem arkadischen Typus Ἥραια/Ἡραιεύς (vgl. α 290; s. ferner μ 63 Anm. 76) legt es also nahe, hier beim arkadischen Ort die Anfangsbetonung (so QPN, -αί R) zu bewahren, während beim folgenden gleichnamigen lykischen Ort die Analogie mit Κελαιναί/Κελαινίτης die Oxytonierung (RQPN) empfiehlt.

160 Nicht weiter bekannt; s. TIB 8,2,725.

161 Eigentlich Demos der Phyle Ptolemais; s. Traill, Political organization of Attica 91 („Stephanos' attribution of Melainai to Antiochis is clearly an error"), 118.

162 Lautet das Demotikon gleich wie der Name des Demos (im Plural), werden die Topika in der Regel (vgl. λ 21) mit Genitiv der Zugehörigkeit gebildet, so z. B. ε 164 Εὐπυρίδαι· δῆμος Λεοντίδος φυλῆς. ὁ δημότης Εὐπυρίδης. … τὰ τοπικὰ ἐξ Εὐπυριδῶν εἰς Εὐπυριδῶν καὶ ἐν Εὐπυριδῶν, ferner δ 6, ε 22, ε 93, κ 149, κ 248. Endet das Demotikon auf -εύς, selbst bei verschiedenem Auslaut des Toponyms, lauten die periphrastischen Topika entsprechend, also κ 247 Κυδαθήναιον· {ὁ} δῆμος … ὁ δημότης Κυδαθηναιεύς. … τὰ τοπικὰ ἐκ Κυδαθηναιέων εἰς Κυδαθηναιέων ἐν Κυδαθηναιέων, ferner Πίθος (523,5), Φηγαιά (663,1). Im hiesigen Artikel vermerkt Stephanos ausdrücklich den Gleichlaut von Toponym (im Plural) und Demotikon; die Regel verlangt also die entsprechenden Topika auf -έων. Die fehlerhafte kontrahierte Genitivendung (Μελαινῶν RQPN) hat ihren Ursprung wohl im alternativen Namen des Demos Μελαιναί, wie ihn Kallimachos überliefert.

163 Der Ort ist offenbar nicht weiter belegt; zum Eponym Melampos s. Roscher, Lexikon II 2,2573 (Nr. 2).

123 Μελανδία· χώρα Σικυωνίας. Θεόπομπος $\overline{λγ}$ Φιλιππικῶν
20 (FGrHist 115 F 177). τὰ ἐθνικὰ Μελάνδιος καὶ Μελανδία.
124 Μελανίππιον· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1
442 F 259). τινὲς δὲ Λυκίας φασί. τὸ ἐθνικὸν Μελανιππιεύς καὶ Μελανίππιος.
125 Μελήτειος κόλπος· ὁ Σμυρναῖος ἐκαλεῖτο, ἀπὸ Μέλητος ποταμοῦ, ὡς Ἑκαταῖος ἐν Αἰολικοῖς (FGrHist 1 F 227).
5 **126 Μελία**· πόλις Καρίας. Ἑκαταῖος Γενεαλογιῶν $\overline{δ}$ (FGrHist 1 F 11 = fr. 11 Fowler). τὸ ἐθνικὸν Μελιεύς ὡς Ὑριεύς.
127 Μελίβοια· πόλις Θετταλίας. Στράβων $\overline{θ}$ (9,5,22 [C 443,21]). τὸ ἐθνικὸν Μελιβοεύς, ὡς Θεόπομπος (FGrHist 115 F 372). τὸ θηλυκὸν Μελιβοιάς.
128 Μελιγουνίς· μία τῶν Αἰόλου νήσων. Καλλίμαχος ἐν τῷ Ἀρτέ-
10 μιδος ὕμνῳ (48). τὸ ἐθνικὸν Μελιγουνίτης.
129 Μέλινα· πόλις Ἄργους, ἀφ' ἧς Ἀφροδίτη Μελιναία τιμᾶται. Λυκόφρων (403) „τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεόν".

---

124 Q. S. 3,233–234 ναῖε δ' ὅ γ' αἰπεινὸν Μελανίππιον ἱρὸν Ἀθήνης | ἀντία Μασσικύτοιο Χελιδονίης σχεδὸν ἄκρης; Stad. 234 (GGM 1,491,15) Ἀπὸ δὲ τῆς Ἱερᾶς ἄκρας ἐπὶ Μελανίππην στάδιοι $\overline{λ}$ **125** Str. 14,1,37 (C 646,1) Ἑξῆς δὲ ἄλλος κόλπος, ἐν ᾧ ἡ παλαιὰ Σμύρνα ἀπὸ εἴκοσι σταδίων τῆς νῦν. … (646,11) ῥεῖ δὲ πλησίον τοῦ τείχους ὁ Μέλης ποταμός; Paus. 7,5,3 πέρην ἱεροῖο Μέλητος Mela 1,89 *sinu Smyrnaeo* **126** gentile in inscriptionibus I.Priene 37,47 μετὰ Μελιέ[ων et 137 τὰν τῶν Μελιέων χώραν **127** Str. 9,5,22 (C 443,18) τραχὺς δ' ἐστὶν ὁ παράπλους πᾶς ὁ τοῦ Πηλίου, ὅσον σταδίων <***> (lac. indic. Radt) ὀγδοήκοντα· τοσοῦτος δ' ἐστὶ καὶ τοιοῦτος καὶ ὁ τῆς Ὄσσης· μεταξὺ δὲ κόλπος σταδίων πλειόνων ἢ διακοσίων, ἐν ᾧ ἡ Μελίβοια Eust. ad B 717 (I 513,5) Τῆς δὲ Μελιβοίας τὸ ἐθνικὸν Μελιβοεύς. ὁρᾷ δέ, φασίν, αὕτη καὶ ἡ Ὀλιζὼν πρὸς τὸ Αἰγαῖον. ἐκλήθη δὲ ἡ ῥηθεῖσα πόλις Μελίβοια ὁμωνύμως ἡρωΐδι γυναικί, ὡς ἐν τῷ περὶ Μαγνήτων λόγῳ δηλωθήσεται (I 529,5) gentilia et Μελιβοεύς et Μελιβοιεύς in nummis leguntur, cf. LAGM 2,167, sed solum Μελιβοιεύς in inscriptionibus, cf. e.g. IG II/III[2] 3,2,9331 **128** Call. Dian. 47–48 νήσῳ ἐνὶ Λιπάρῃ (Λιπάρη νέον, ἀλλὰ τότ' ἔσκεν | οὔνομά οἱ Μελιγουνίς) Sch. Th. 3,88,2 Λιπάρα· αὕτη τὸ παλαιὸν ἡ Λιπάρα Μελιγουνὶς ἐκαλεῖτο, ὥς φησιν ὁ Καλλίμαχος (Dian. 48); Hsch. μ 699 **129** Lyc. 403 τὴν Καστνίαν δὲ καὶ Μελιναίαν (v.l. Μελινναίαν) θεὸν cum Sch. ad loc. Μελινναία δὲ ἡ Ἀφροδίτη, ἴσως διὰ τὸ γλυκὺ καὶ ἐνήδονον τῆς μίξεως

---

123 1 novum tmema non indic. R σικυωνίας RQPN: Σιθωνίας Holste $\overline{λγ}$ QPN: $\overline{ιγ}$ R, $\overline{κγ}$ Jacoby in app. 2 μελανδία QPN: μελανδι^{τ}α R **124** 1 πόλις L. Dindorf (Thes. Gr. Ling. V 718D): ποταμὸς RQPN, τόπος Berkel 2 Μελανιππιεύς Meineke dub. in app. (cf. St. Byz. α 305; ι 91; κ 179 etc.): μελανιππεύς RQPN **125** 1 Μελήτειος κόλπος Meineke in app.: Μελίτος (ex -του) κ. R, Μελήτου κ. QPN, Μέλητος κ. Berkel ὁ Schubart (1843) 204: ὃς RQPN 1–2 ἀπὸ Μέλητος ποταμοῦ Grumach: ἀπὸ μελήτου ποταμοῦ P[pc]N, spat. ca. 9 litt. ποταμὸς RQP[ac], ἔστι δὲ Μέλης ποταμός Meineke **126** 1 γεναιαλογιῶν R $\overline{δ}$ R (cf. St. Byz. μ 227): $\overline{α}$ QPN **127** 2 μελιβοεὺς RQN: μελοιβοεὺς P 2–3 τὸ θηλυκὸν μελιβοιὰς R: τὸ θ. Μελιβοιΐς vel Μελιβοιϊάς Meineke, τὸ ἐθνικὸν μελιβοιεὺς Q, om. PN **128** 1 καλλίμμαχος R 1–2 τῶ ἀρτέμιδος ὕμνω V: τῶ εἰς ἀρτέμιδος ὕμνω QPN, τοῖς εἰς ἀρτέμιδα ὕμνοις R 2 μελιγουνίτης (per comp.) R: μελιγουνεὺς QPN **129** 1 τιμα cum spat. ca. 4 litt. Q 2 Καστνίαν δὲ καὶ Μελιναίαν Xylander (e Lyc.): καστανίαν τῆς μελιναίας R, καστανίαν τε μελλιναία Q, καστανίαν τε μελιναίαν PN

123. Melandia, Landschaft im Gebiet von Sikyon. Theopomp <erwähnt sie> im dreiunddreissigsten Buch der *Philippika* (FGrHist 115 F 177). Die Ethnika <lauten> Melandier und Melandierin.[164]

124. Melanippion, Stadt in Pamphylien.[165] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 259). Einige sagen hingegen, <die Stadt befinde sich> in Lykien. Das Ethnikon <lautet> Melanippieer und Melanippier.

125. Meles-Bucht, <so> hiess die Smyrnäische <Bucht>, nach dem Fluss Meles <benannt>,[166] wie Hekataios in den *Aiolika* (FGrHist 1 F 227) <angibt>.

126. Melia, Stadt in Karien.[167] Hekataios <erwähnt sie> im vierten Buch der *Genealogien* (FGrHist 1 F 11 = fr. 11 Fowler). Das Ethnikon <lautet> Melieer, wie Hyrieer.

127. Meliboia, Stadt in Thessalien.[168] Strabon <erwähnt sie> im neunten Buch (9,5,22 [C 443,21]). Das Ethnikon <lautet> Meliboeer, wie Theopomp (FGrHist 115 F 372) <angibt>; das Femininum Meliboiadin.

128. Meligunis, eine der Äolischen Inseln.[169] Kallimachos <erwähnt sie> im *Hymnos auf Artemis* (48). Das Ethnikon <lautet> Meligunit.

129. Melina, Stadt im Gebiet von Argos, nach welcher Aphrodite als Melinaia verehrt wird.[170] <So sagt> Lykophron (403): „Die Göttin von Kastnion und Melina".

---

[164] Die Situierung der Landschaft ist umstritten. Für die in den Hss RQPN einhellig überlieferte Lage im Gebiet von Sikyon spricht, dass in den Büchern 32 und 33 von Theopomps Fragmenten Orte auf der Peloponnes genannt werden. Im Gegensatz zu μελανδία (QPN) überliefert die Hs R μελανδι$^{\tau}$a. Dahinter könnte sich, wie Meineke festhielt, ein Ethnikon auf -της verbergen („Μελανδι$^{\tau}$a R, in quo Μελανδιάτης vel Μελανδίτης latet"). Auf alternative Formen scheint auch τὰ ἐθνικὰ hinzuweisen, da in der Epitome der Plural nicht zur Unterscheidung von Maskulin und Feminin des Ethnikons gebraucht wird. Gegen Holstes Konjektur Σιθωνίας sowie eine Verbindung mit den thrakischen Melanditen (X. An. 7,2,32), wie sie Jacoby vorschlägt, wendet sich Zahrnt, Olynth und die Chalkidier 199 f.

[165] Einzig eine Stadt dieses Namens (s. Similia), und nicht ein Fluss (so die Hss RQPN), ist bekannt; s. TIB 8,2,725–727. Zur Verwechslung πόλις/ποταμός vgl. St. Byz. δ 79 mit Anm. 89.

[166] Meinekes Vorschlag Μελήτειος scheint unausweichlich, wird doch κόλπος, wie gerade auch der hiesige Alternativname (vgl. auch St. Byz. 580,19 Σμυρναικὸς κόλπος) belegt, stets durch das entsprechende geographische Adjektiv bezeichnet; vgl. ferner St. Byz. α 134,12; β 40; β 67, usw. Zum Fluss Meles s. RE XV 1,494 Nr. 4.

[167] Das Toponym ist nicht belegt, hingegen das Ethnikon sowie das Ktetikon, dieses besonders in Zusammenhang mit dem Μελιακὸς πόλεμος (I.Priene 37,56. 142. 152); s. A. Magnetto, L'arbitrato di Rodi fra Samo e Priene (Pisa 2008) 81–97; mythologischen Kontext bei Hekataios vermutet F. Pownall, in: BNJ 1 F 11 ad loc. Zur Lage des Ortes s. Lohmann, Topographie des südlichen Ionien 218 f.

[168] Inventory Nr. 453; DNP 7,1184 Nr. 2.

[169] Gemeint ist Lipara; so auch St. Byz. λ 77 Λιπάρα· νῆσος μεγίστη τῶν ἑπτὰ τῶν Αἰόλου, ἣ Μελιγουνίς ἐκαλεῖτο.

[170] Nicht weiter bekannt; s. Inventory S. 600 Anm. 1.

130 Μελινοφάγοι· ἔθνος Θρᾴκης. Ξενοφῶν ἐν Ἀναβάσεως ζ̅ (7,5,12) καὶ Θεόπομπος ἐν τῷ μθ̅ (FGrHist 115 F 223).

15 **131 Μέλισσα**· πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 357). ὁ οἰκήτωρ Μελισσαῖος. ἡ χώρα Μελισσαία. ἔστι καὶ ἐν Κυζίκῳ κώμη Μέλισσα. τὸ ἐθνικὸν Μελισσηνός ὡς Κυζικηνός.

443 **132 Μελιταία**· πόλις Θετταλίας. Ἀλέξανδρος Ἀσίᾳ (SH 30). Θεόπομπος (FGrHist 115 F 373) δὲ Μελίτειαν αὐτήν φησιν. ὁ πολίτης Μελιταιεύς. Ἔφορος λ̅ (FGrHist 70 F 95) „οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς φίλοι πρότερον ὑπάρχοντες". Μελίτεια Φίλων (FGrHist 790
5 F 45) οὕτω γράφει, τὰ αὐτὰ πράγματα τῇ εἰρημένῃ προσάπτων. τὸ ἐθνικὸν Μελιτεύς. 5

133 Μελίτη· νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας, ὅθεν τὰ κυνίδια Μελιταῖά φασιν. ὁ οἰκήτωρ Μελιταῖος. ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων, καὶ δῆμος Οἰνηίδος φυλῆς. ὁ δημότης Μελιτεύς. τὰ τοπικὰ εἰς Μελίτην ἐκ Μελίτης καὶ ἐν Μελίτῃ.

---

130 X. An. 7,5,12 καὶ ἀφικνοῦνται ἐν δεξιᾷ ἔχοντες τὸν Πόντον διὰ τῶν Μελινοφάγων καλουμένων Θρᾳκῶν εἰς τὸν Σαλμυδησσόν **131** Hanno Peripl. 5 (GGM 1,3,8) Τήν τε λίμνην παραλλάξαντες ὅσον ἡμέρας πλοῦν, κατῳκίσαμεν πόλεις πρὸς τῇ θαλάττῃ καλουμένας Καρικόν τε τεῖχος καὶ Γύττην καὶ Ἄκραν καὶ Μέλιτταν καὶ Ἄραμβυν **132** Ps.-Scyl. 63 Ἀχαιῶν πόλεις αἵδε· Ἀντρῶνες, Λάρισσα, Μελιταία Μελίτεια apud Th. 4,78,1; Str. 9,5,10 (C 434,2); Plb. 5,97,5 gentile Μελιταιεύς apud Str. 9,5,6 (C 432,2); Plb. 9,18,5–6 **133** Ps.-Scyl. 23,3 καὶ νῆσος τῆς παραλίας χώρας ἐγγὺς ᾗ ὄνομα Μελίτη· καὶ ἑτέρα νῆσος ἐγγὺς ταύτης ᾗ ὄνομα Κέρκυρα ἡ Μέλαινα Plin. nat. 3,152 *ab Issa Corcyra Melaena cognominata cum Cnidiorum oppido distat XXV, inter quam et Illyricum Melite, unde catulos Melitaeos appellari Callimachus* (fr. 579 Pfeiffer) *auctor est*; aliter Str. 6,2,11 (C 277,20) πρόκειται δὲ τοῦ Παχύνου Μελίτη – ὅθεν τὰ κυνίδια ἃ καλοῦσι Μελιταῖα de insula prope Siciliam sita cf. etiam Ps.-Scyl. 111,3 εἰσὶ νῆσοι τρεῖς μικραὶ κατὰ τοῦτο, ὑπὸ Καρχηδονίων οἰκούμεναι· Μελίτη πόλις καὶ λιμήν, Γαῦλος πόλις, Λαμπάς; D. S. 5,12,1 τῆς γὰρ Σικελίας ἐκ τοῦ κατὰ μεσημβρίαν μέρους νῆσοι τρεῖς πρόκεινται πελάγιαι, καὶ τούτων ἑκάστη πόλιν ἔχει καὶ λιμένας … ἡ προσαγορευομένη Μελίτη … . ἔστι δ' ἡ νῆσος αὕτη Φοινίκων ἄποικος de tribu Μελίτη cf. Harp. μ 20 Μελίτη· Δημοσθένης ἐν τῷ Κατὰ Κόνωνος (D. 54,7). δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ̅ (FGrHist 328 F 27) ἀπὸ Μελίτης θυγατρὸς gentile Μελιτεύς occurrit apud D. 57,37. 41 necnon in multis inscriptionibus de adverbiis localibus cf. Ar. Ra. 501 οὐκ Μελίτης μαστιγίας; ἐν Μελίτῃ apud Pl. Prm. 126c10, Plu. Them. 22,2, etc.

---

130 1 ἐν om. R **131** 2 μελισσαῖος QPN: μελισαίος R Κυζίκῳ Meineke: κυρικῶ RQP, κυριακῶ N, Κορίνθῳ J. Gronovius 3 Κυζικηνός J. Gronovius: κυρικηνὸς R[pc](ex -σσηνὸς)QPN **132** 1 Μελιταία Holste: μελιτταία RQPN, Μελίταια Meineke (cf. Hdn. 1,272,35) ἀσίᾳ RQPN: Εὐρώπῃ dub. Meineke in app. 4 Μελιταιεῖς Holste: μελιτταιεῖς QPN, μελιττεῖς R 4–6 Μελίτεια – Μελιτεύς cum praecedentibus coniunxit Berkel: novum tmema indic. RQPN 5 οὕτω iter. R (in pag. fine) **133** 2 καὶ πόλις exp. R

130. Melinophagen (Hirseesser), Volk in Thrakien.[171] Xenophon <erwähnt sie> im siebten Buch der *Anabasis* (7,5,12) und Theopomp im neunundvierzigsten Buch <der *Philippika*> (FGrHist 115 F 223).

131. Melissa, Stadt der Libyer.[172] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 357). Der Bewohner <heisst> Melissaier. Das Land <heisst> Melissaia. Ferner gibt es bei Kyzikos ein Dorf <namens> Melissa.[173] Das Ethnikon <lautet> Melissener, <gebildet> wie Kyzikener.

132. Melitaia, Stadt in Thessalien.[174] Alexander (von Ephesos) <erwähnt sie> in der *Asia* (SH 30). Theopomp (FGrHist 115 F 373) hingegen nennt sie Meliteia. Der Bürger <heisst> Melitaieer. Ephoros <sagt> im dreissigsten Buch (FGrHist 70 F 95): „Die Tyrannen <der Stadt> Pherai und die Melitaieer waren früher Freunde". Meliteia, so schreibt (Herennios) Philon (FGrHist 790 F 45) <den Namen>, wenn er dieselben Ereignisse mit der soeben erwähnten Stadt verknüpft.[175] Das Ethnikon <lautet dann> Meliteer.

133. Melite, Insel zwischen Epeiros und Italien, nach welcher man die Melitäerhündchen benennt.[176] Der Bewohner <heisst> Melitaier. Eine weitere Stadt <dieses Namens> ist eine Kolonie der Karthager,[177] dazu ein Demos <Melite> der Phyle Oineïs.[178] Der Demot <heisst> Meliteer. Die Topika <lauten> ‚nach Melite' (εἰς Μελίτην), ‚aus Melite' (ἐκ Μελίτης) und ‚in Melite' (ἐν Μελίτῃ).

---

[171] DNP 7,1185; TIB 12,626 (Salmēdēssos [2]).

[172] An der Westküste Marokkos gelegen; s. RE XV 1,554; Braun, Hecataeus' knowledge 336.

[173] Ein solches ist nicht weiter belegt. Bekannt sind hingegen ein Dorf Melissos bei Korinth (Plu. Moralia 772e) und ein gleichnamiges Dorf in Zentralphrygien (vgl. Ath. 13,574f; Plu. Alc. 39); zu diesem s. TIB 7,340 (s.v. Mētropolis). Meinekes Emendation von Κυρικῷ (RQP) zu Κυζίκῳ erweist sich freilich als die ökonomischste.

[174] Inventory Nr. 438; TIB 1,218.

[175] Nicht abschliessend kann geklärt werden, wohin der Verweis auf Philon gehört: Berkel zog den als eigenen Artikel überlieferten Abschnitt zur thessalischen Stadt. Jacoby hingegen geht von einer Versetzung aus dem nachfolgenden Artikel (μ 133) aus, wo die Worte urspünglich auf ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων gefolgt seien.

[176] DNP 7,1191 Nr. 6. Gemäss Plinius (nat. 3,152), der sich auf Kallimachos (fr. 579 Pfeiffer) beruft, haben die ‚Melitäischen Schosshündchen' von der hier als ersten aufgeführten, illyrischen Insel ihren Namen; s. J.M.C. Toynbee, Tierwelt der Antike (Mainz 1983) 388 Anm. 64.

[177] Das heutige Malta; DNP 7,1191 Nr. 7.

[178] Eigentlich ein Demos der Kekropis, bzw. von 307/6 bis 201/0 v. Chr. der Demetrias; s. Traill, Political organization of Attica 11, 50.

134 Μελιτηνή· πόλις Καππαδοκίας. Στράβων ια (11,12,2 [C 521,4]) „τὸ δ’ Ἄμανον ὄρος μέχρι τοῦ Εὐφράτου καὶ τῆς Μελιτηνῆς πρόεισι, καθ’ ὃ ἡ Κομμαγηνὴ <τῇ> Καππαδοκίᾳ παράκειται“. οἱ πολῖται Μελιτηνοί ὡς Κομμαγηνοί.

135 Μελίτουσα· πόλις Ἰλλυρίας. Πολύβιος ιγ (13,10,11). τὸ ἐθνικὸν Μελιτουσαῖος ὡς Σκοτουσαῖος, καὶ Μελιτούσιος ὡς Σκοτούσιος.

136 Μεμβλίαρος· νῆσος πλησίον Θήρας <ἡ> καὶ Ἀνάφη, ἀπὸ Μεμβλιάρου τοῦ Θήραν οἰκήσαντος Φοίνικος, τῶν μετὰ Κάδμου ἑνός. λέγεται καὶ κατὰ ἀφαίρεσιν Βλίαρος. τὸ ἐθνικὸν Μεμβλιάριος.

137 Μέμφις· ἡ διασημοτάτη Αἰγύπτου μητρόπολις. κλίνεται καὶ Μέμφιος καὶ Μέμφιδος. ὁ πολίτης Μεμφίτης. καὶ Μεμφιτικός κτητικόν.

138 Μέμνονες· ἔθνος Αἰθιοπικόν, ὃ ἑρμηνεύεται, ὡς ὁ πολυίστωρ (FGrHist 273 F 130) φησίν, ἀγρίους τινὰς ἢ μαχίμους καὶ χαλεπούς.

---

134 non urbs, sed regio apud Strabonem, cf. etiam Str. 12,2,6 (C 537,1) Πόλιν δ’ οὔτε τὸ τῶν Καταόνων ἔχει πεδίον οὔθ’ ἡ Μελιτηνή, φρούρια δ’ ἐρυμνὰ ἐπὶ τῶν ὀρῶν urbs apud Ptol. Geog. 5,7,5 (5,6,21) Μελιτηνῆς παρὰ μὲν τὸν Εὐφράτην ποταμόν· … Μελιτηνή; Procop. Aed. 3,4,16 Μελιτηνὴ μὲν τὸ χωρίον, λεγεὼν δὲ ὁ λόχος ἐπωνομάζετο. … (17) μετὰ δὲ Τραϊανῷ τῷ Ῥωμαίων αὐτοκράτορι δεδογμένον, ἐς πόλεώς τε ἀξίωμα ὁ χῶρος ἀφῖκται καὶ μητρόπολις κατέστη τῷ ἔθνει. προϊόντος δὲ τοῦ χρόνου ἐγένετο ἡ τῶν Μελιτηνῶν πόλις μεγάλη καὶ πολυάνθρωπος. … (20) βασιλεὺς δὲ Ἰουστινιανὸς πανταχόθεν αὐτὴν βεβαιότατα κατατειχισάμενος μέγα τοῖς Ἀρμενίοις ὀχύρωμά τε καὶ ἐγκαλλώπισμα Μελιτηνὴν ἀπειργάσατο de gentili cf. etiam Str. 11,14,2 (C 527,18); Suid. μ 522 **135** St. Byz. 578,1 Σκότουσα (R, Σκότουσσα QPN)· πόλις καὶ χωρίον τῆς ἐν Θετταλίᾳ Πελασγίας. … . τὸ ἐθνικὸν Σκοτουσαῖος (RQ, -σσ- PN) καὶ Σκοτουσαία (RQP, -σσ- N) **136** St. Byz. α 308 Ἀνάφη· νῆσος μία τῶν Σποράδων πλησίον Θήρας, ἥτις ἀπὸ Μεμβλιάρου τοῦ σὺν Κάδμῳ πλεύσαντος εἰς ἀναζήτησιν Εὐρώπης Μεμβλίαρος ἐκαλεῖτο. τοῖς δ’ Ἀργοναύταις ὑπὸ χειμῶνος τρυχομένοις καὶ σκοτομήνης ἀναφανεῖσα Ἀνάφη ἐπικέκληται **137** Phot. μ 270 Μέμφιδος· Ἀττικοὶ τὰ πολλά· Ἴωνες δὲ καθ’ ὑφαίρεσιν τοῦ δ Μέμφιος, <ὡς> μήτιος, Σύρτιος. Αἰσχύλος Πέρσαις (36)· „ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων μέγας Ἀρσάκης“ Μέμφιος apud Hdt. 2,12,1. 13,1. 99,2, etc.; Μέμφιδος apud Th. 1,104,2. 109,4, etc.; sed cf. St. Byz. 701,9 Ψένυρις· Αἰγυπτία κώμη. κλίνεται Ψενύρεως. τὸ ἐθνικὸν Ψενυρίτης, ὡς Λεπτίτης Λέπτεως καὶ Μεμφίτης Μέμφεως gentile saepius memoratur, cf. St. Byz. 4,10; 130,16; 134,9; 191,11; 474,14; 623,6; 640,21; 661,2 possessivum apud Hsch. α 6193; Gal. 12,799 **138** Eust. ad A 423 (I 197,30) ἄλλοι δὲ γράφουσι „μετὰ Μέμνονας Αἰθιοπῆας“ λέγοντες Αἰθίοπάς τινας εἶναι οὕτω καλουμένους ἀπὸ Μέμνονος υἱοῦ Τιθωνοῦ καὶ Ἡμέρας

---

215 Plb. 3,40,8 εἰς Μοτίνην, ἀποικίαν ὑπάρχουσαν Ῥωμαίων de gentili cf. App. BC 3,49 μέχρι Μουτίνην … καὶ τὰ τῶν Μουτιναίων **216** D. S. 14,48,1 οὐ γὰρ ἠγνόουν τοὺς Συρακοσίους ὅτι πρῶτον τὴν Μοτύην πορθήσουσι διὰ τὸ πιστοτάτην εἶναι τοῖς Καρχηδονίοις. αὕτη δ’ ἡ πόλις ἦν ἐπί τινος νήσου κειμένη, τῆς Σικελίας ἀπέχουσα σταδίους ἕξ gentile Μοτυαῖος apud D. S. 14,52,4. 5. 7, etc.; Polyaen. 5,2,6 et in nummis (cf. LAGM 2,173), sed Μοτυηνός apud D. S. 13,63,4; 14,48,2 et 52,1 **218** Const. Porph. Them. II 62 τῆς δὲ δευτέρας Καππαδοκίας εἰσὶ πόλεις ὑπὸ ἡγεμόνα ὀκτώ· … Μωκισσὸς

---

215 1 Μοτίνη Berkel: Μοτιηνὴ RQ, Μοτιηνοὶ PN ἄποικος R: ἄποικον QPN 2 Μουτίνην Meineke: μοτινὴν R, μουτιηνὴν Q, μουτιηνὸν PN μοτιναῖος (ex μοτιην-) R: μοτιηναῖος Q, μοτιηνὸς PN **216** 4 Μοτυαῖος Cluverius (Sicilia ant. [1619] p. 249; cf. etiam St. Byz. κ 187): μοτυσαῖος R[pc](ex μοττυ-)QPN **217** 1 παρὰ R: περὶ QPN σικελικῶν RQ: σικελῶν PN

215. Motine, Ort in Iberien, eine Kolonie der Römer. Polybios <erwähnt die Stadt> im dritten Buch (3,40,8).[300] Phlegon (FGrHist 257 F 28) nennt sie Mutine. Das Ethnikon <lautet> Motinaier.

216. Motye, Stadt Siziliens,[301] <benannt> nach Motye, der Frau, welche bei Herakles die Räuber seiner Rinder angezeigt hatte.[302] Hekataios <erwähnt Motye> in der *Europe* (FGrHist 1 F 76). Philistos (FGrHist 556 F 64) bezeichnet Motye hingegen als eine am Meer gelegene Festung Siziliens. Das Ethnikon <lautet> Motyaier.

217. Motylai, Festung Siziliens, bei Motye <gelegen>. Philistos <erwähnt sie> im fünften Buch der *Sikelika* (FGrHist 556 F 22). Das Ethnikon <lautet> Motylaier.[303]

218. Mukissos, Stadt in Cappadocia Secunda.[304] Kapiton <erwähnt sie> im sechsten Buch der *Isaurika* (FGrHist 750 F 12).

---

[300] Bereits Pinedo und Berkel haben das falsche Toponym und die entsprechend irrige Lokalisierung der Örtlichkeit erkannt. Der Quellenverweis auf Plb. 3,40,8 τοὺς φεύγοντας συνδιώξαντες εἰς Μοτίνην, ἀποικίαν ὑπάρχουσαν Ῥωμαίων lässt keinen Zweifel daran, dass es sich um Μο(υ)τίνη (lat. *Mutina*) handelt. Sofern die geographische Bestimmung Ἰβηρίας nicht bloss einen Überlieferungsfehler darstellt, dürfte unstatthafte Verknappung Ursprung des Irrtums sein. In der Tat findet sich bei Polybios die Erwähnung von Μοτίνη im Zusammenhang mit der Panik, welche Hannibals Aufbruch aus der Iberischen Halbinsel in den oberitalischen Städten auslöste. Zum Problem s. ferner J. McInerney, in: BNJ 257 F 28 ad loc., der im Text wie Jacoby Meinekes Ergänzung folgt, im Kommentar aber auch die Möglichkeit eines spanischen wie eines italischen Ortes Μάντουα (vgl. Ptol. Geog. 2,6,57 [2,6,56] und 3,1,31 [3,1,27]) erwägt und bei Stephanos Verwechslung mit Μοτίνη annimmt. Zum Ort s. DNP 8,560 f. (mit weiterführender Literatur).

[301] BTCGI 12,77–129 (Mozia).

[302] Gemeint sind die Rinder des Geryones, die Herakles auf dem Weg von Tartessos zu Eurystheus durch Italien trieb, wo man sie ihm zu entwenden versuchte (vgl. Apollod. 2,5,10); die Eponyme Motye ist hingegen nicht weiter bekannt.

[303] Nicht weiter belegt; s. RE XVI 1,408. Bereits Cluverius (Sicilia antiqua [1619] S. 253 f.) hegte den Verdacht, dass dieser Artikel ursprünglich Teil von μ 216 war und die Festung Motylai identisch ist mit dem Kastell Motye, wie Philistos dort die Stadt bezeichnete. Die fehlerhafte Schreibweise (Μοτυλ-) von Toponym oder Ethnikon hätte demnach die Abspaltung zu einem eigenen Eintrag (μ 217) bewirkt.

[304] Vgl. St. Byz. κ 68. Von Iustinian neu erbaut (Procop. Aed. 5,4,15), wurde die Stadt von da an auch Ἰουστινιανόπολις genannt; s. TIB 2,238 f.

219 Μουμαστός· ὡς Βουβαστός, πόλις Καρίας. Ἀλέξανδρος β̅ Καρικῶν (FGrHist 273 F 27). ὁ πολίτης †μουμαστίτης†.

458 **220 Μουνυχία**· λιμὴν Ἀττικῆς, ἀπὸ Μουνύχου. καὶ ἱερὸν Μουνυχίας Ἀρτέμιδος. ὁ οἰκήτωρ Μουνύχιος καὶ Μουνυχιάς. τὰ τοπικὰ Μουνυχίαθεν καὶ Μουνυχίαζε καὶ Μουνυχίασιν.

6 **221 Μοῦρσα**· πόλις Παιονίας, κτίσμα Ἀδριανοῦ. τὸ ἐθνικὸν Μουρσαῖος, ὡς Παρθένιος Φωκαεύς (cf. RE XVIII 4,1900 Nr. 17). λέγεται καὶ Μούρσιον.

222 Μούσειον· τόπος περὶ τὸν Ὄλυμπον τὸν ἐν Μακεδονίᾳ. Πολύβιος λ̅ζ̅ (37,1,1). τὸ τοπικὸν ἀναλόγως Μουσειεύς, ὡς Σιγειεύς.

11 **223 Μόψιον**· πόλις τῆς Πελασγιώτιδος, χώρας Θεσσαλίας. Στράβων θ̅ (9,5,22 [C 443,30]) „ἄλλος δέ ἐστι Μόψος, ἀφ᾽ οὗ οἱ Ἀττικοὶ Μοψοπίαν". τὸ ἐθνικὸν Μόψιος.

---

220 Sch. D. 18,185 Μουνυχία τόπος περὶ τὸν Πειραιᾶ, ἔνθα ἐστὶν ἱερὸν Μουνυχίας Ἀρτέμιδος· … . ἐκλήθη δὲ Μουνυχία, ὥς φησιν ὁ Διόδωρος (FGrHist 372 F 39), παραφέρων τὰ Ἑλλανίκου, λέγων ὡς ὅτι Θρᾷκές ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων τὸν Μινύειον Ὀρχομενὸν τὸν τῆς Βοιωτίας ἐξέβαλον αὐτοὺς ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύχου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τοῦτον τὴν Μουνυχίαν, ὅστις οὕτως ὠνομάσθη παρ᾽ αὐτῶν πρὸς τιμὴν τοῦ βασιλέως; breviter Harp. μ 38, Phot. μ 553 et 555 adverbium Μουνυχίαζε apud Lys. 13,29; Μουνυχίασι apud Lys. 13,24. 32, etc., sed Μουνιχίασι apud Th. 8,92,5 **221** Ptol. Geog. 2,15,8 (2,15,4) Μουρσία κολωνία CIL III 3279 *divo Hadriano Mursenses conditori suo* **223** Str. 9,5,22 (C 443,26) εἶναι δὲ τὸ νῦν καλούμενον Πελασγικὸν πεδίον, ἐν ᾧ Λάρισα καὶ Γυρτώνη καὶ Φεραὶ καὶ Μόψιον καὶ Βοιβηϊὰς καὶ Ὄσσα καὶ Ὁμόλη καὶ Πήλιον καὶ Μαγνῆτις (Μόψιον δ᾽ ὠνόμασται οὐκ ἀπὸ Μόψου τοῦ Μαντοῦς τῆς Τειρεσίου, ἀλλ᾽ ἀπὸ τοῦ Λαπίθου τοῦ συμπλεύσαντος τοῖς Ἀργοναύταις· ἄλλος δ᾽ ἐστὶ Μόψος ἀφ᾽ οὗ ἡ Ἀττικὴ Μοψοπία); cf. etiam Str. 9,5,20 (C 441,24) gentile Μόψιος non invenitur, sed cf. LAGM 2,172 (Μοψείων)

---

219 1–2 Μουμαστός· ὡς Βουβαστός (cf. D. S. 5,62,4) … †μουμαστίτης† Billerbeck: Μούμαστις ὡς βούβαστις RQPN … μουμαστίτης R[pc](ex βουβα-)QPN, Μούμαστος ὡς Βούβαστος … Μουμαστίτης Berkel 2 Μουμαστίτης <ὡς Βουβαστίτης> susp. Meineke in app. **220** 1 Μουνύχου Xylander: μονύχου RQPN 2 οἰκητής Q(per comp.)V μουνύχιος Q: -χος R, μουνίχιος PN μουνυχιὰς RQN: μουνιχ- P μουνυχίαθεν R: μουνυχιάθεν Q, μουνιχιάθεν PN 3 μουνιχίαζε PN Μουνυχίασιν Westermann: μουνυχιᾶσι RQ, μουνιχιάσιν PN **221** 1 Μοῦρσα RPN: Μούρσα Q παιονίας RQ: ἰωνίας PN ἀδριανοῦ (ex αὐδ-) R **222** 1 Μούσειον PN: Μούσσειον RQ πολέβιος Q 2 λ̅ζ̅ QPN: δ̅ζ̅ R **223** 1 Πελασγιώτιδος Xylander: πελασγίτιδος RPN, πελασγότιδος Q χώρας om. RQ 2–3 οἱ ἀττικοὶ μοψοπίαν RQ: οἱ ἀττικοὶ μοψοπίαι PN, ἡ Ἀττικὴ Μοψοπία Holste (e Str.) 3 τὸ om. RQ

219. Mumastos, <gebildet> wie Bubastos, Stadt in Karien. Alexander (Polyhistor) <erwähnt sie> im zweiten Buch der *Karika* (FGrHist 273 F 27). Der Bürger <heisst Mumastier?>.[305]

220. Munychia, Hafen in Attika,[306] nach Munychos <benannt>. Und <es gibt dort> ein Heiligtum der Artemis Munychia. Der Bewohner <heisst> Munychier und <im Femininum> Munychiadin. Die Topika <lauten> ‚aus Munychia' (Μουνυχίαθεν) und ‚nach Munychia' (Μουνυχίαζε) und ‚in Munychia' (Μουνυχίασιν).[307]

221. Mursa, Stadt in Paionien,[308] Gründung <des Kaisers> Hadrian. Das Ethnikon <lautet> Mursaier, wie Parthenios aus Phokaia (vgl. RE XVIII 4,1900 Nr. 17) <belegt>. Man sagt auch Mursion.

222. Museion, Ort in der Nähe des makedonischen Olymps.[309] Polybios <erwähnt ihn> im siebenunddreissigsten Buch (37,1,1). Das Topikon <lautet> entsprechend Museieer, wie Sigeieer <zu Sigeion>.

223. Mopsion, Stadt in der Pelasgiotis,[310] einer Gegend Thessaliens. Strabon <erwähnt den Ort> im neunten Buch (9,5,22 [C 443,30]): „Ein anderer aber ist Mopsos, nach welchem die Bewohner von Attika <ihre Landschaft> Mopsopia <nennen>".[311] Das Ethnikon <lautet> Mopsier.

---

[305] Die Verwirrung bzw. Verwechslung mit dem ägyptischen Bubastos/Bubastis (St. Byz. β 134) und dem entsprechenden Ethnikon Βουβαστίτης geht wohl auf den Epitomator zurück. Nicht nur ist eine Stadt Μούμαστις in Karien unbekannt, sondern auch ein karisches Toponym auf -ις unwahrscheinlich. Ausgangspunkt zu einer möglichen Wiederherstellung des ursprünglichen Eintrags ist die Analogie in St. Byz. 645,6 Ὑγασσός· πόλις Καρίας, ὡς Βουβασσός (mit Ethnikon Βουβάσσιος), Κρυασσός. Zwar ist Βυβασσός (St. Byz. β 187) mit der charakteristischen Endbetonung (s. Zgusta, Kleinasiatische Ortsnamen S. 690 f.) die geläufige Namensform, doch begegnen auch Βουβαστός (D. S. 5,62,4) sowie laut Ephoros (St. Byz. β 187) Βυβαστός mit dem Ethnikon Βυβάστιος.

[306] DNP 9,474–476 (Peiraieus) mit Karte und weiterführender Literatur.

[307] Die fehlerhafte Schreibung des Toponyms (Μωνυχία) hat in den *Ethnika* zu einer Dublette (μ 270) geführt. Dort findet sich in den Hss auch das Thukydideszitat, welches Vossius hier am Rand seiner Hs nachgetragen hat.

[308] DNP 8,500; zu den verschiedenen Namensformen s. RE XVI 1,670.

[309] Nicht weiter bekannt; s. RE XVI 1,821 Nr. 3.

[310] Inventory Nr. 404.

[311] Offensichtlich ist in der Epitome nur der – für den hiesigen Artikel irrelevante – Schluss des Strabonzitats stehen geblieben, während die Nennung des Lapithen und Argonauten Mopsos als Eponym des thessalischen Mopsion der Kürzung zum Opfer gefallen ist (s. Similia).

224 Μοψοπία· ἡ Ἀττική, ἀπὸ Μόψοπος. Καλλίμαχος (fr. 709 Pfeiffer).
15 ἄρρητος ἡ Μόψοψ εὐθεῖα. ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ι. καὶ Μοψοπιεύς. Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν α̅ Λέσχῃ (SH 477) Μοψοπίτης φησί, καὶ ἔδει Μοψοπιώτης. ἴσως δὲ καθ' ὕφεσιν τοῦ ω. τὸ θηλυκὸν Μοψοπίς. 5

459 **225 Μόψου ἑστία**· <πόλις> Κιλικίας ἐπὶ τῷ Πυράμῳ ποταμῷ, ἀπὸ Μόψου τοῦ μάντεως. ὁ πολίτης Μοψεάτης, κατὰ παραγωγὴν μιᾶς τῶν λέξεων. ἀφ' οὗ ὁ γραμματικὸς Ἡρακλείδης ὁ Μοψεάτης.

5 **226 Μυγδονία**· μοῖρα Μακεδονίας. καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης, ἀπὸ Μυγδόνος. τινὲς δὲ Μαιδοὺς αὐτούς φασι. τὸ κτητικὸν Μυγδονικός καὶ θηλυκῶς καὶ οὐδετέρως. λέγεται καὶ Μυγδόνιος καὶ Μυγδονία. ἐλέγετο καὶ Μυχθονία.

227 Μυγισσός· πόλις Καρίας. Ἑκαταῖος δ̅ Γενεαλογιῶν (FGrHist 1 F 12
10 = fr. 12 Fowler). τὸ ἐθνικὸν Μυγίσσιος καὶ Μυγισσία Ἀθηνᾶ καὶ Μυγισσίς.

228 Μύης· Μύητος, ὡς Φάγρης Φάγρητος, πόλις Ἰωνική. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 235). τὸ ἐθνικὸν Μυήσιος ὡς Φαγρήσιος.

---

224 Sch. Lyc. (Tzetzes) 733 Μοψοπία δὲ πάλαι ἐκαλεῖτο ἡ Ἀττικὴ χώρα καὶ αἱ Ἀθῆναι ἀπό τινος Μόψοπος ἐκεῖσε βασιλεύσαντος; Str. 9,1,18 (C 397,5) Μοψοπίαν δὲ ἀπὸ Μοψόπου, sed Str. 9,5,22 (C 443,30) Μόψος ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία Choerob. GG IV 2,18,6 τῆς Μόψοπος γενικῆς ἡ εὐθεῖα ἐπιλιμπάνει διὰ τὸ ἀσύντακτον· ἤμελλε γὰρ εἶναι ἡ εὐθεῖα ὁ Μόψοψ, ὅπερ ἐστὶν ἀσύντακτον, τουτέστιν οὐκ ἔχον <χαρακτῆρα> Ἑλληνικόν de adiectivo Μοψόπειος cf. Lyc. 1340 τοὺς Μοψοπείους … γύας; Μοψόπιος apud AP 16,118,8 St. Byz. α 50 Ἀγυιά· … . ἔστιν οὖν τὸ μὲν ἀγυιεύς ἀπὸ τοῦ ἀγυιά, ὡς Τρύφων φησὶν ἐν Παρωνύμοις (fr. 83 Velsen) „πᾶν εἰς α θηλυκὸν ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπία Μοψοπιεύς …" **225** Sch. D. P. 850 (p. 454b22) ὁ δὲ Κάλχας μαντικῇ νικηθεὶς ὑπὸ Μόψου τοῦ Ἀπόλλωνος τελευτᾷ. ἡγούμενος δὲ αὐτῶν Μόψος ἀφικνεῖται εἰς Κιλικίαν, καὶ γήμας Παμφύλην τὴν Καβδήρου θυγατέρα καὶ βασιλεύσας τὴν χώραν ἐκάλεσε Παμφυλίαν, καὶ πόλιν ἔκτισε Μόψου ἑστίαν καλουμένην de gentili cf. St. Byz. 504,16 ὁ δὲ σχηματισμὸς ἀπὸ δύο ἓν παράγωγον. ὡς … ἀπὸ τοῦ Μόψου καὶ ἑστία παρήχθη τὸ Μοψεάτης ἀπὸ μόνου τοῦ Μόψου; similiter St. Byz. 116,15 et 525,2 **226** Th. 1,58,2 τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην; Str. 7 fr. 16a,17 καὶ δὴ καὶ μάλιστα λέγονται Μυγδόνες οἱ περὶ τὴν λίμνην (sc. τὴν Βόλβην) de regione in Phrygia sita cf. Paus. 10,27,1 τούτου (sc. Μύγδονος) μνῆμά τε ἐπιφανὲς ἐν ὅροις πεποίηται Φρυγῶν Στεκτορηνῶν καὶ ἀπ' αὐτοῦ ποιηταῖς Μύγδονας ὄνομα ἐπὶ τοῖς Φρυξὶ τίθεσθαι καθέστηκεν Μυγδονικός apud Plu. Luc. 32,4 Μυγδόνιος solet possessivum adhiberi, cf. Nonn. D. 25,456; 27,232, etc.; sed gentile apud Luc. Sacr. 10 **228** gentile Μυήσιος apud Hdt. 6,8,1; Str. 14,1,42 (C 648,31), et in inscriptionibus, cf. SIG[3] 1,134,22; SEG 36 (1986) Nr. 1048,7

---

224 2 ἡ Μόψοψ εὐθεῖα Pinedo: ἢ μοψευ$^{θ'}$ R, ἢ μομοψευ^{θ} Q, ἢ μοψοψ PN 2–3 διὰ τοῦ γ R 3 ἡλακλείδης P δὲ post Ἡρακλείδης om. RN Λέσχῃ Meineke (An. Alex. 380 f.): λέχῃ RQ(sine acc.), lac. indic. om. PN 5 μοψωπὶς R **225** 1 πόλις add. Berkel 2 μοψεάτης Ald.: μαψ- RQPN 3 μοψεάτης PN: μαψ- RQ **226** 1 Μυγδονία Ald.: Μυρδονία RQPN μοῖρα RQ: μοίρας PN 2 Μαιδοὺς Salmasius (cf. St. Byz. μ 15): μάρδους RQPN μυγδονικός Ald.: μυρδονικὸς R(μιρ-)QPN 3 μυγδόνιος QPN: μιρ- R **227** 1 Μυγισσός R: μύγισσοι QPN 2 Μυγίσσιος Meineke: μυγίσιος RQPN μυγισσία R: μυγισία QPN Μυγισσίς Meineke: μυσαγὴς RQPN, μυγισαΐς Ald. **228** 1 ()ύης non rubr. RP 1–2 Φάγρης Φάγρητος … Φαγρήσιος Holste (e St. Byz. 654,8): φράγης φράγητος … φραγήσιος RQPN

224. Mopsopia, Attika, nach Mopsops <benannt>.[312] Kallimachos (fr. 709 Pfeiffer) <verwendet diese Namensbezeichnung>. Sprachlich ungebräuchlich ist der Nominativ Μόψοψ (Mopsops). Der Bürger <heisst> Μοψόπειος (Mopsopeier) mit Diphthong und <Μοψόπιος, Mopsopier> mit ι. <Man sagt> auch Mopsopieer. Herakleides Pontikos sagt aber in der ersten *Lesche* (SH 477) Mopsopit (Μοψοπίτης), und überhaupt müsste man Mopsopiot (Μοψοπιώτης) <sagen>. Vielleicht <entstand die erstere Form> aber durch Wegfall des ω. Das Femininum <lautet> Mopsopidin.

225. Mopsuestia, Stadt in Kilikien am Fluss Pyramos,[313] <benannt> nach dem Seher Mopsos. Der Bürger <heisst> Mopseat, in Ableitung von lediglich einem Glied des Kompositums (d.h. Μόψου). Danach <heisst> der Grammatiker Herakleides der Mopseat.[314]

226. Mygdonia, Teilgebiet Makedoniens;[315] auch eine weitere <Landschaft dieses Namens gibt es> in Grossphrygien.[316] <Benannt ist sie> nach Mygdon.[317] Einige bezeichnen die Bewohner als Maider.[318] Das Ktetikon <lautet> mygdonischer und <entsprechend> im Femininum sowie im Neutrum. Man sagt auch Mygdonier und Mygdonierin;[319] und Mychthonia war der <frühere> Name.

227. Mygissos, Stadt in Karien.[320] Hekataios <erwähnt sie> im vierten Buch der *Genealogien* (FGrHist 1 F 12 = fr. 12 Fowler). Das Ethnikon <lautet> Mygissier und <im Femininum wie im Beinamen> Athena Mygissia sowie Mygissidin.

228. Myes, <mit Genitiv> Μύητος, wie Phagres <mit Genitiv> Φάγρητος, ionische Stadt.[321] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 235). Das Ethnikon <lautet> Myesier wie Phagresier.

---

312 Zu Mopsopia und dem Eponym Mopsos/Mopsopos s. Radt, Kommentar 7,20 und 133.

313 Inventory S. 1213; TIB 5,1,351–359. Das Toponym ist in zahlreichen Varianten belegt, s. RE XVI 1,243–245 mit einer Übersicht.

314 Einen einzigen weiteren Beleg für diesen Herakleides liefert Athenaios (6,234d): ὁ (sc. Πολέμων) εἴτε Σάμιος ἢ Σικυώνιος εἴτ' Ἀθηναῖος ὀνομαζόμενος χαίρει, ὡς ὁ Μοψεάτης Ἡρακλείδης λέγει καταριθμούμενος αὐτὸν καὶ ἀπ' ἄλλων πόλεων.

315 DNP 8,568; Papazoglou, Villes de Macédoine 185–226.

316 DNP 8,569 Nr. 1.

317 Zum makedonisch-thrakischen Eponym vgl. St. Byz. η 3 sowie s.v. Παρθενόπολις (504,9).

318 Bereits Salmasius erkannte, dass sich der Hinweis auf die makedonischen Maider (oben μ 15) und nicht auf das hyrkanische Volk der Marder am Südrand des Kaspischen Meers (oben μ 65) bezieht.

319 Ob mit Μυγδόνιος und Μυγδονία die kaum belegten Formen des Ethnikons gemeint sind oder, was wahrscheinlicher ist, die geläufigere Form des Ktetikons, bleibt unsicher. Anzumerken ist, dass die Bezeichnung Μυγδόνες für den einschlägigen Volksstamm fehlt.

320 Nicht weiter bekannt; s. Zgusta, Kleinasiatische Ortsnamen § 858. Zu einem fälschlicherweise angenommenen inschriftlichen Beleg (IG I^{3} 1,262 col. IV,19) s. ATL 1,521. Für Münzen vgl. LAGM 2,173.

321 Identisch mit Μυοῦς (μ 244); s. Inventory Nr. 856; Zgusta, Kleinasiatische Ortsnamen § 863.

229 Μυκάλη· πόλις Καρίας. Ἡρόδοτος α̅ (1,148,1). τὸ ἐθνικὸν Μυκαλήσιος ὡς Ἰθακήσιος. Τρύφων δὲ Μυκαλεύς φησιν ἐν Παρωνύμοις (fr. 86 Velsen). λέγεται καὶ θηλυκῶς Μυκαλησίς, ὡς Σώστρατος ὁ Φαναγορείτης (SH 731). Δίδυμος (p. 358 fr. 1 Schmidt) δ' ὄρος τὴν Μυκάλην φησίν. ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπὶ τόπῳ μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μυχῷ κεῖται τῆς Καρικῆς ἁλός. ἔστιν οὖν ἡ Μυκάλη καὶ πόλις καὶ ὄρος.

230 Μυκαλησσός· πόλις μεσογεία Βοιωτίας. Θουκυδίδης ζ̅ (7,29,2). ἐκλήθη δὲ ὅτι ἡ βοῦς ἐνταῦθα ἐμυκήσατο ἡ τὸν Κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἀγαγοῦσα εἰς Θήβας. ἔστι καὶ ἄλλη Καρίας, ὡς Ἔφορος γ̅ (FGrHist 70 F 28). τὸ ἐθνικὸν Μυκαλήσσιος καὶ Μυκαλησσία. ἔστι καὶ ὄρος Μυκαλησσός ἐναντίον Σάμου. καὶ Μυκαλησσίς τὸ θηλυκόν.

---

229 Eust. ad B 869 (I 581,9) Μυκάλη δὲ ὄρος Πριήνης ἀντικρὺ Σάμου … . ὥσπερ δὲ ἡ Βοιωτία Μυκαλησσὸς ἐκ μυκηθμοῦ, ὡς προεγράφη (ad B 498 [I 407,1]), οὕτω καὶ ἡ Μυκάλη αὕτη κατὰ τὸν Ἐθνολόγον, ἐπεὶ αἱ Γοργόνες ἐπὶ τοῦ ὄρους τούτου μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μυχῷ ἁλὸς τῆς Καρικῆς κεῖται. ἔστι δὲ καὶ πόλις Καρίας Μυκάλη; Suid. μ 1390 Μυκάλη καὶ Μυκαλησός, ὄνομα πόλεως. παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς Γοργόνας Hdt. 1,148,1 τὸ δὲ Πανιώνιόν ἐστι τῆς Μυκάλης χῶρος ἱρός, …· ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη πρὸς ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ de gentili Μυκαλεύς cf. Sch. D ad B 498 Μυκαλησσόν· οὕτω κληθεῖσαν ἀπὸ Μυκάλης τῆς ἐν Καρίᾳ, Περσέως ἐν ταύτῃ ἱδρυσαμένου τὸ τοῦ Μυκαλέως Διὸς ἱερόν de forma Μυκαλησσίς cf. Call. Del. 50 **230** Th. 7,29,2 καὶ ἀποβιβάσας (sc. ὁ Διειτρέφης) ἐς τὴν Βοιωτίαν ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν Paus. 1,23,3 κατὰ τὸν Χαλκιδικὸν … Εὔριπον, ἔνθα Βοιωτῶν ἐν μεσογαίᾳ πόλις Μυκαλησσὸς ἦν, et 9,19,4 ἑξῆς δὲ πόλεων ἐρείπιά ἐστιν Ἅρματος καὶ Μυκαλησσοῦ …· Μυκαλησσὸν δὲ ὁμολογοῦσιν ὀνομασθῆναι, διότι ἡ βοῦς ἐνταῦθα ἐμυκήσατο ἡ Κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἄγουσα ἐς Θήβας. … πρὸς θάλασσαν δὲ τῆς Μυκαλησσοῦ Δήμητρος Μυκαλησσίας ἐστὶν ἱερόν Eust. ad B 498 (I 407,1) Μυκαλησσὸς δὲ μεσογεία πόλις Βοιωτίας κειμένη καὶ παρὰ Θουκυδίδῃ (7,29,2). καλεῖται δὲ οὕτως ἢ ἀπὸ τοῦ ἐκεῖ γεγονυίας τὰς Γοργόνας μυκήσασθαι ἢ ἀπὸ τῆς βοός, ἥτις τὸν Σύριον Κάδμον καὶ τοὺς σὺν αὐτῷ ποδηγήσασα εἰς Θήβας ἐνταῦθα ἐμυκήσατο. ἔστι δὲ καὶ ἑτέρα Μυκαλησσὸς Καρική· ἔνθα Μυκαλέως Διὸς λαμπρὸν ἱερόν. καὶ ὄρος δὲ Μυκαλησσὸς ἐναντίον Σάμου. τῆς δὲ Μυκαλησσοῦ ὁ πολίτης Μυκαλήσσιος. ἡ μέντοι Μυκάλη ἑτέρα ταύτης ἐστίν, ὡς προϊοῦσι φανήσεται (ad B 869 [I 581,9])

---

229 1 α̅ Holste: ς̅ RQPN (cf. Hdt. 6,16,1) 2 ὡς add. Ald. 3 θηλυκῶς QPN: -κός R Φαναγορείτης Meineke (cf. St. Byz. 657,12): -ρίτης RQPN 4 δύδιμος R 5 ἐπὶ τόπῳ Holste: ἐπὶ (ἔπι Q) τόκω QPN, ἐπιτοκῶντο R, ἐπ' οἴκτῳ prop. Meineke in app. τῆς κεφαλῆς N **230** 1 μεσογεία QPN: -γία R 4 Μυκαλήσσιος … Μυκαλησσία Berkel: -ησι- bis RQPN 5 μυκαλησὶς R

229. Mykale, Stadt in Karien.[322] Herodot <erwähnt sie> im ersten Buch (1,148,1). Das Ethnikon <lautet> Mykalesier, wie Ithakesier. Tryphon aber sagt in den *Ableitungen* (fr. 86 Velsen) Mykaleer. Man sagt auch Mykalesidin im Femininum, wie Sostratos aus Phanagoreia (SH 731) <angibt>. Didymos (S. 358 fr. 1 Schmidt) hingegen bezeichnet Mykale als Berg. Man hat <den Ort so> benannt, weil dort die übrigen Gorgonen das Haupt der Medusa brüllend (μυκώμεναι) anriefen.[323] Andere nennen Mykale Mychale, weil es im hintersten Winkel (μυχῷ) der Karischen See liegt. Es handelt sich also bei Mykale sowohl um eine Stadt als auch um einen Berg.

230. Mykalessos, Stadt im Binnenland Boiotiens.[324] Thukydides <erwähnt sie> im siebten Buch (7,29,2). Sie hat ihren Namen daher, dass die Kuh dort brüllte (ἐμυκήσατο), die Kadmos und sein Heer nach Theben geführt hatte. Es gibt auch eine weitere <Stadt dieses Namens> in Karien, wie Ephoros im dritten Buch (FGrHist 70 F 28) <angibt>. Das Ethnikon <lautet> Mykalessier und Mykalessierin. Es gibt auch einen Berg <namens> Mykalessos gegenüber <der Insel> Samos.[325] Und Mykalessidin <lautet> das Femininum.

---

[322] Als Stadt ist Mykale nicht weiter bekannt. Herodot verzeichnet denn auch nur das gleichnamige Vorgebirge, das Samos gegenüberliegt und gut belegt ist; s. DNP 8,570; Zgusta, Kleinasiatische Ortsnamen § 860–1; ausführlich Lohmann, Topographie des südlichen Ionien 224 f.

[323] Die gestörte Überlieferung hat Kopfzerbrechen verursacht. Dass die Gorgonen mit Gebrüll (μυκώμεναι, vgl. auch μύκημα und μυκηθμός) den Tod ihrer Schwester Medusa beklagen, ist mehrfach bezeugt und wird etymologisch mit den Ortsnamen Μυκάλη, Μυκαλησσός und Μυκῆναι in Verbindung gebracht; s. RE VII 2,1636. Eine Verbindung zu den Geburtswehen (ἐπὶ τόκῳ) wird hingegen nirgends hergestellt. Holstes Verbesserung ἐπὶ τόπῳ ist alles andere als sicher, doch entspricht sie der Periphrase ἐπὶ τοῦ ὄρους, welche Eustathios in seinem Referat des vorliegenden Artikels gibt (s. Similia).

[324] Inventory Nr. 212.

[325] Weder ist eine Stadt noch ein Berg namens Mykalessos in Karien bekannt, Identität mit Mykale, wo Stephanos ebenfalls eine Stadt und einen Berg verzeichnet (μ 229), daher sehr wahrscheinlich; s. dazu Zgusta, Kleinasiatische Ortsnamen § 860–2. Zu Ephoros als Quelle des unbekannten karischen Toponyms in Sch. b zu Il. 2,494 und hier s. V. Parker, in: BNJ 70 F 28 ad loc.

231 Μυκῆναι· πόλις Πελοποννήσου. Ὅμηρος (Β 569) „οἳ δὲ Μυκήνας
10 εἶχον“. ἀπὸ Μυκηνέως τοῦ Σπάρτωνος τοῦ Φορωνέως ἀδελφοῦ· ἢ ἀπὸ
μύκητος τοῦ ξίφους ὃ ἐφόρει Περσεύς, οὗ πεσόντος κατὰ κέλευσιν Ἑρμοῦ
τὴν πόλιν ἔκτισεν· ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰὼ βοῦν ἐκεῖ γενομένην.
ὁ πολίτης Μυκηναῖος καὶ θηλυκὸν Μυκηνίς. καὶ Μυκηνεύς. 5
15 **232 Μύκοι**· ἔθνος, περὶ οὗ Ἑκαταῖος ἐν Ἀσίᾳ (FGrHist 1 F 289) „ἐκ
Μύκων ἐς Ἀράξην ποταμόν“.

---

231 Eust. ad Β 569 (I 446,28) Τούτων δὲ ἡ μὲν Μυκήνη ἀπό τινος νύμφης, φασί, Λακωνικῆς ὠνομάσθη ἢ ἀπὸ Μυκηνέως υἱοῦ Σπάρτωνος, ἀδελφοῦ Φορωνέως, ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς, οὗ πεσόντος, φασί, κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἐκεῖ ἔκτισε. μύκης δὲ κατὰ τοὺς παλαιοὺς ἡ λαβὴ τοῦ ξίφους· ἡ δὲ χρῆσις καὶ παρ' Ἡροδότῳ (3,64,3) ἐν τῷ „καὶ τοῦ κουλεοῦ τοῦ ξίφους ὁ μύκης ἀποπίπτει“. … (447,2) κατὰ δέ τινας Μυκήνη ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰῶ, βοῦν ἐκεῖ γενομένην. λέγεται δὲ καὶ ἑνικῶς Μυκήνη καὶ πληθυντικῶς. ὁ δὲ πολίτης αὐτῆς οὐ μόνον Μυκηναῖος ἀλλὰ καὶ Μυκηνεὺς κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα de viro eponymo cf. Paus. 2,16,4 ὃν δὲ προσποιοῦσιν Ἀκουσιλάῳ (FGrHist 2 F 24 = fr. 24 Fowler) λόγον, Μυκηνέα υἱὸν εἶναι Σπάρτωνος, Σπάρτωνα δὲ Φορωνέως, οὐκ ἂν ἔγωγε ἀποδεξαίμην, διότι μηδὲ αὐτοὶ Λακεδαιμόνιοι de capulo gladii Persei cf. Paus. 2,16,3 Περσεὺς δὲ ὡς ἀνέστρεψεν ἐς Ἄργος … Μεγαπένθην τὸν Προίτου πείθει οἱ τὴν ἀρχὴν ἀντιδοῦναι, παραλαβὼν δὲ αὐτὸς τὴν ἐκείνου Μυκήνας κτίζει. τοῦ ξίφους γὰρ ἐνταῦθα ἐξέπεσεν ὁ μύκης αὐτῷ, καὶ τὸ σημεῖον ἐς οἰκισμὸν ἐνόμιζε συμβῆναι πόλεως. ἤκουσα δὲ καὶ ὡς διψῶντι ἐπῆλθεν ἀνελέσθαι οἱ μύκητα ἐκ τῆς γῆς, ῥυέντος δὲ ὕδατος πιὼν καὶ ἡσθεὶς Μυκήνας ἔθετο τὸ ὄνομα τῷ χωρίῳ; cf. etiam Sch. Nic. Alex. 103b de Io cf. Plin. nat. 16,239 **232** Hdt. 3,93,2 ἀπὸ δὲ Σαγαρτίων καὶ Σαραγγέων καὶ Θαμαναίων καὶ Οὐτίων καὶ Μύκων καὶ τῶν ἐν τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ Ἐρυθρῇ θαλάσσῃ

---

231 1 πελοποννήσου R: πελοπονή- QPN μυκήνας R Hom. codd.: μυκῆνας QPN 2 εἶχον Xylander (ex Hom. codd.): ἔχων R, ἔχον QPN μυκηνέως V: μυκηνέος Q, μυκηναίου RPN 3 μύκητος QP: μήκυτος R, μητος N ξίφου Q **232** 1–2 Μύκοι et Μύκων Meineke (ex Hdt.): Μυκοί et μυκῶν RQPN 1 Περσίδος post ἔθνος add. Meineke οὗ RPN: τοῦ Q 2 ἐς ἀράξην ποταμόν R: εἰς (ἐς Q) ἀράξινον ποτὲ QPN

231. Mykenai, Stadt auf der Peloponnes.[326] Homer (Il. 2,569) <sagt>: „Jene aber, welche Mykenai innehatten". <Benannt ist sie> nach Mykeneus, dem Sohn des Sparton, des Bruders des Phoroneus, oder nach dem Knauf (μύκης) des Schwertes, welches Perseus zu tragen pflegte; hatte er doch dort, wo der Schwertknauf zu Boden gefallen war, auf Geheiss des Hermes die Stadt gegründet. Oder <sie hat ihren Namen> nach dem Brüllen (μυκήσασθαι) der Io, die dort zur Kuh wurde. Der Bürger <heisst> Mykenaier und im Femininum Mykenidin. Auch Mykeneer <kommt vor>.[327]

232. Myker, Volk,[328] über das Hekataios in der *Asia* (FGrHist 1 F 289) <sagt>: „Aus <dem Gebiet> der Myker bis zum Fluss Araxes".

[326] Inventory Nr. 353.

[327] Die Form Μυκηναῖος ist in literarischen Texten verbreitet (vgl. z.B. Il. 15,638; Hdt. 7,202, usw.), inschriftlich hingegen Μυκανεύς belegt (vgl. IG IV 497). Einen Beleg für das Femininum Μυκηνίς findet sich in E. Or. 1246.

[328] Volk im Perserreich, s. Potts, The Arabian Gulf 1,394–400. Zum Ausfall der geographischen Lokalisierung vgl. oben κ 59 mit Anm. 85.

20 461 5

233 Μύκονος· νῆσος μία τῶν Κυκλάδων, ἀπὸ Μυκόνου τοῦ Ἀνίου τοῦ Καρυστοῦ καὶ Ῥοιοῦς τῆς Ζάρηκος. Θουκυδίδης γ̄ (3,29,1). καὶ Στράβων ῑ (10,5,9 [C 487,15]) „Μύκονος δ' ἐστίν, ὑφ' ᾗ μυθεύονται κεῖσθαι τῶν Γιγάντων τοὺς ὑγιεινοτάτους ὑφ' Ἡρακλέους καταλυθέντας, ἀφ' ὧν ἡ παροιμία (cf. Zen. Ath. 2,23 = Ath. 5,17 [I 122,14 Leutsch/Schneidewin]) ‚πάντα ὑπὸ μίαν Μύκονον' ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει. καὶ τοὺς φαλακροὺς δέ τινες Μυκονίους καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ". ὁ
5 νησιώτης Μυκόνιος.

234 Μύλαι· πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 79). ὁ πολίτης Μυλαΐτης, ὡς τῶν Θηβῶν Θηβαΐτης, Ἀθῆναι Ἀθηναΐτης. εἰσὶ γὰρ οἳ οὕτω λέγονται. καὶ τὸ θηλυκὸν Μυλαΐτις. εἰσὶ δὲ Μύλαι καὶ Θετταλίας, ἧς τὸ ἐθνικὸν Μυλαῖος.

10 **235 Μύλακες**· ἔθνος Ἠπειρωτικόν. Λυκόφρων (1021) „Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος".

236 Μυλαντία· ἄκρα ἐν Καμίρῳ τῆς Ῥόδου. Μυλάντειοι θεοί. ἀπὸ Μύλαντος ἀμφότερα, τοῦ καὶ πρώτου εὑρόντος ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν.

---

233 Th. 3,29,1 προσμείξαντες δ' ἀπ' αὐτῆς (sc. τῆς Δήλου) τῇ Ἰκάρῳ καὶ Μυκόνῳ Str. 10,5,9 (C 487,15) Μύκονος δ' ἐστὶν ὑφ' ᾗ μυθεύουσι κεῖσθαι τῶν Γιγάντων τοὺς ὑστάτους ὑφ' Ἡρακλέους καταλυθέντας· ἀφ' ὧν ἡ παροιμία ‚πάνθ' ὑπὸ μίαν Μύκονον' ἐπὶ τῶν ὑπὸ μίαν ἐπιγραφὴν ἀγόντων καὶ τὰ διηρτημένα τῇ φύσει. καὶ τοὺς φαλακροὺς δέ τινες ‚Μυκονίους' καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν ἐν τῇ νήσῳ **234** Ps.-Scyl. 13,4 καὶ πόλις Ἑλληνὶς Μύλαι καὶ λιμήν de feminino cf. Plb. 1,23,2 de urbe in Thessalia sita cf. inscriptionem BCH 45 (1921) III.134 ἐν Μυλαῖς; Liv. 42,54,1 *Mylae, proximum oppidum* huius urbis gentile Μυλαῖος invenias in SEG 29 (1979) Nr. 546,9 **235** Lyc. 1021–1022 Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὅροις (v.l. ὄρος) | χῶρος συνοίκους δέξεται Κόλχων Πόλαις cum Sch. ad loc. Μύλακες ἔθνος Ἰλλυρικόν **236** Hsch. μ 1850 Μυλάντειοι θεοί· ἐπιμύλιοι; Hsch. μ 1851 Μύλας· εἷς τῶν Τελχίνων, ὃς τὰ ἐν Καμείρῳ ἱερὰ Μυλαντείων ἱδρύσατο

---

233 1 νῆσος om. PN Ἀνίου Th. Gale (Historiae poeticae script. ant. [1675] adn. ad Parth. Narr. Amat. 1,26): αἰνείου RPN, αινιου Q 2 Ῥοιοῦς Meineke (mon. Gale): ῥυοῦς RQPN Ζάρηκος Xylander: ζάρικος QPN, βάρυκος R 3 ῑ RQP: γ̄ N ὑφ' RQP Str.: ἐφ' N μυθεύονται RQPN: μυθεύουσι Meineke (e Str.) 4 ὑγιεινοτάτους RQPN (cf. Eust. D. P. 525 [p. 319,12]): ὑστάτους Str. 6 Μύκονον Xylander (e Str.): μύκον RQPN 7 ἀγαγόντων R(αγἀγ-)QPN: ἀγόντων Meineke (e Str.) 9 μυκώνιος R **234** 1 et 3 Μύλαι Billerbeck (cf. Hdn. 1,320,8): Μυλαί bis RQPN 3 λέγονται RQ: λέγουσι PN μυλαΐτις Q: μυλαΐτις PN, μυλαΐτης R **235** 1 Κρᾶθις Westermann (Κράθις iam Xylander): κράθης RQPN 2 ἠδὲ R: ἡ δὲ QPN **236** 1 Καμίρῳ Salmasius: κα cum spat. 2 litt. ήρω R, κ cum spat. 1 litt. αήρω Q, καυήρω PN τῆς Ῥόδου om. R Μυλάντειοι L. Dindorf (Thes. Gr. Ling. V 1261D; ex Hsch.): -τιοι RQPN 2 ἀμφότερα Ald.: ἀμφότεροι R, ἀμφοτ (per comp.) QPN

233. Mykonos, Insel,[329] eine der Kykladen, <benannt> nach Mykonos, dem Sohn des Anios, des Sohnes des Karystos und der Rhoio, der Tochter des Zarex. Thukydides <erwähnt die Insel> im dritten Buch (3,29,1). Und Strabon <berichtet> im zehnten Buch (10,5,9 [C 487,15]): „Mykonos ist <die Insel>, unter welcher nach der Sage die stärksten Giganten liegen, die von Herakles vernichtet wurden. Daher <kommt> das Sprichwort (vgl. Zen. Ath. 2,23 = Ath. 5,17 [I 122,14 Leutsch/Schneidewin]) ‚Alles unter das eine Mykonos', auf jene gemünzt, die auf einen Nenner bringen wollen, was von Natur getrennt ist. Und einige bezeichnen die Kahlköpfigen als Mykonier, weil dieses Leiden auf der Insel häufig auftritt". Der Inselbewohner <heisst> Mykonier.

234. Mylai, Stadt auf Sizilien.[330] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 79). Der Bürger <heisst> Mylaït, wie zu Theben (Θῆβαι) Thebaït und <zu> Athen (Ἀθῆναι) Athenaït <gebildet wird>.[331] Manche <Bürger> werden nämlich auf diese Weise bezeichnet. Und das Femininum <lautet> Mylaïtidin. Mylai ist aber auch <eine Stadt> in Thessalien, deren Ethnikon Mylaier <lautet>.[332]

235. Mylaken, Volk in Epeiros.[333] Lykophron (1021) <sagt>: „Krathis aber als Nachbar und ein Berg der Mylaken".

236. Mylantia, Vorgebirge bei Kamiros auf Rhodos.[334] Die Mahlgötter (Μυλάνθειοι) <werden dort verehrt>. Beide Bezeichnungen kommen von Mylas, der den Mühlstein (μύλος) erfunden und in seinem Leben als erster gebraucht hat.

---

329 Inventory Nr. 506. Zum nicht weiter bekannten Eponym sowie dem in der Antike unterschiedlich gedeuteten Sprichwort („alles in einen Topf werfen") und zur Kahlköpfigkeit der Bewohner von Mykonos s. RE XVI 1,1031,27–1032,15.

330 Die gängige Anfangsbetonung des Toponyms wird auch vom folgenden Kanon gefordert; zur gut bekannten Stadt s. Inventory Nr. 38; BTCGI 10,115–140 (Milazzo).

331 Als Ethnikon dieser Stadt ist einzig Μυλαῖος belegt, und zwar ebenso in der Literatur (vgl. z. B. D. S. 12,54,5; Plb. 1,9,7) wie in Inschriften (vgl. IGASMG III 38). Auf diese Form weist der für das Ethnikon Μυλαΐτης angeführte Kanon hin, fasst Stephanos doch Ethnika auf -αΐτης als Ableitungen von solchen auf -αῖος auf; vgl. oben κ 312, ferner St. Byz. 591,5.

332 Inventory Nr. 466.

333 Nicht weiter bekannt; s. Hammond, Epirus 809.

334 Zum Eponym Mylas und den „Mahlgöttern" s. Roscher, Lexikon II 2,3305 f.

15 **237 Μύλασα·** πόλις Καρίας, ἀπὸ Μυλάσου τοῦ Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ (fr. 101 Radt). τὸ ἐθνικὸν Μυλασεύς. οὕτως γὰρ ἀναγράφουσι πολλοί, ὡς Μένανδρος Καταψευδομένῳ (fr. 207 Kassel/Austin [PCG VI 2,148]). 5

20 **238 Μύλιοι·** ἔθνος Φρυγίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 270).

462 **239 Μύλων·** πόλις Αἰγύπτου. Ἑκαταῖος (FGrHist 1 F 318). ὁ πολίτης Μυλοπολίτης.

240 Μύνδος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 243). ἔστι καὶ πόλις Καρίας ἄλλη Παλαιὰ Μύνδος. ἧς τὸ ἐθνικὸν Μύνδιος καὶ Μυνδία.
5 Ἀπολλώνιος καὶ Ζήνων Μύνδιοι γραμματικοί.

241 Μύνδωνες· ἔθνος Λιβύης. Ἔφορος κη̅ (FGrHist 70 F 90) „Μύνδωνες οἵπερ εὐγνωμότατοι δοκοῦσιν εἶναι <καὶ> πλουσιώτατοι τὸν βίον".

242 Μυονία· πόλις Φωκίδος. Παυσανίας ι̅ (10,38,8). οἱ πολῖται Μύονες.
10 Θουκυδίδης (3,101,2) Μυονέας αὐτούς φησι.

---

237 Hdt. 1,171,6 ἐν Μυλάσοισι de gentili cf. e.g. Hdt. 5,37,1. 121; IG I[3] 1,267, col. V,31 Str. 14,2,23 (C 658,30) τὰ δὲ Μύλασα ἵδρυται μὲν ἐν πεδίῳ σφόδρα εὐδαίμονι, … (659,17) ἀξιολόγους δ' ἔσχεν ἄνδρας καθ' ἡμᾶς τὰ Μύλασα ῥήτοράς τε ἅμα καὶ δημαγωγοὺς τῆς πόλεως Εὐθύδημόν τε καὶ Ὑβρέαν **239** POxy. 1380, col. I,16 ἐν Μύλωνι **240** Str. 14,2,20 (C 658,5) Ἐν δὲ τῇ παραλίᾳ τῆς ἠπείρου κατὰ τὴν Μυνδίαν Ἀστυπάλαιά ἐστιν ἄκρα καὶ Ζεφύριον, εἶτ' εὐθὺς ἡ Μύνδος λιμένα ἔχουσα Plin. nat. 5,107 *inde Myndos et ubi fuit Palaemyndus* de Zenone cf. EM 590,44 Ζήνων δὲ ὁ Μύνδιος, ὅτι τὸ βρύον τῶν ἐλαιῶν ἐκάλουν μόρον **242** Paus. 10,38,8 τούτων δὲ τῶν Λοκρῶν τοσαίδε ἄλλαι πόλεις εἰσίν· ἄνω μὲν ὑπὲρ Ἀμφίσσης πρὸς ἤπειρον Μυονία, σταδίοις ἀπωτέρω τριάκοντα Ἀμφίσσης· οὗτοι καὶ τῷ Διὶ ἐν Ὀλυμπίᾳ εἰσὶν οἱ ἀναθέντες Μύανες (Schubart-Walz, immo Μύονες, μυίαν ἐς codd.) τὴν ἀσπίδα Th. 3,101,2 πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας (ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρίς)

---

237 1 μυλάσου Ald.: μυλάστου RQPN 2 μύλασος R: μύλας QPN αἰσχῦλος Q 3 Καρσὶν ἢ Εὐρώπῃ Xylander: καρσίνη. εὐρώπη RQPN 4 Καταψευδομένῳ Meineke: καταψευδομένων RQP, κατὰ ψευδομένων N **238** Μύλιοι R: Μύλισιν QPN, Μυλιεῖς Holste, Μυλίαι dub. Meineke in app. **239** 1 Μύλων <πόλις>, πόλις Αἰγύπτου dub. Meineke in app. **240** 1 καρίας QPN: ἀσίας R 2 παλαιὰ μύνδος QPN (cf. St. Byz. λ 16 Παλαιὰ Λαζική): παλαιάμυνδος R **241** 1 Μύνδωνες Meineke: Μύνδονες RP[pc]N, Μυήδονες QP[ac] 2 μύνδωνες RQP[pc]: μύνδονες P[ac]N οἵπερ εὐγνωμότατοι … <καὶ> Meineke: ὑπερευγνωμότατοι RQPN **242** 1 Μυονία – Μύονες om. R πολῖται PN 2 μυονέας R[pc]QPN Th.: μυανέας R[ac]

237. Mylasa, Stadt in Karien,[335] <benannt> nach Mylasos, dem Sohn des Chrysaor und Enkel des Glaukos und Urenkel des Sisyphos, des Sohnes des Aiolos. Sie heisst auch Mylasos, wie Aischylos in <seiner Tragödie mit dem Titel> *Karer* oder *Europe* (fr. 101 Radt) <zu erkennen gibt>. Das Ethnikon <lautet> Mylaseer. Denn so verzeichnen es viele, wie Menander im *Schwindler* (fr. 207 Kassel/Austin [PCG VI 2,148]).[336]

238. Mylier, Volk in Phrygien.[337] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 270).

239. Mylon (Mühlenstadt), Stadt in Ägypten. Hekataios (FGrHist 1 F 318) <erwähnt sie>. Der Bürger <heisst> Mylopolit.[338]

240. Myndos, Stadt in Karien.[339] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 243). Es gibt noch eine weitere Stadt <dieses Namens> in Karien, Palaia Myndos. Das dazugehörige Ethnikon <lautet> Myndier und Myndierin. Die Grammatiker Apollonios und Zenon <figurieren> als Myndier.[340]

241. Myndonen, Volk in Libyen.[341] Ephoros <erwähnt sie> im achtundzwanzigsten Buch (FGrHist 70 F 90): „Die Myndonen, die doch äusserst besonnen und sehr reich an Lebensgütern zu sein scheinen".

242. Myonia, Stadt in Phokis.[342] Pausanias <erwähnt sie> im zehnten Buch (10,38,8). Die Bürger <heissen> Myonen. Thukydides (3,101,2) nennt sie Myoneer.[343]

---

335 Inventory Nr. 913; Zgusta, Kleinasiatische Ortsnamen § 861–1; für eine Testimoniensammlung s. W. Blümel, Die Inschriften von Mylasa, Teil II. IK 35 (Bonn 1988) 8–26.

336 Die Bemerkung betrifft die Schreibung von Toponym und Ethnikon mit einfachem oder doppeltem σ, wie z. B. bei den byzantinischen Schriftstellern; s. RE XVI 1,1048. Diese Notiz wurde von E. Rohde, Kleine Schriften 1(Tübingen 1901) 369 Anm. 2, missverstanden, der von einer verlorenen Namensliste ausging und entsprechend ἀναγράφονται konjizierte.

337 Der Volksname ist nicht weiter belegt; Identifikation mit den Μιλύαι (μ 187) vermutete Holste.

338 Calderini/Daris, Dizionario 3,3,304 Nr. 1. Als Simplex Μύλων (für Μύλων πόλις) ist der Stadtname durch POxy. 1380 (2. Jh. n. Chr.) belegt. Zur Behandlung von zusammengesetzten Toponymen (Gen. Plural + πόλις) s. α 22 Anm. 36, sowie auch α 35 Anm. 59.

339 Inventory Nr. 914; Zgusta, Kleinasiatische Ortsnamen § 862 mit Blümel, Ortsnamen in Karien 177. Zur Bezeichnung Παλαιὰ Μύνδος s. J.M. Cook, The Palai-Names, Historia 4 (1955) 39–45, hier 42.

340 Zu letzterem s. LGGA s.v. Zenon [4].

341 Nicht weiter belegt; s. Desanges, Catalogue des tribus africaines 258.

342 Inventory Nr. 164; identisch mit Μύων (μ 265) und dort richtig als Ort der Lokrer verzeichnet. Das Toponym Μυονία belegt einzig Stephanos' Gewährsmann Pausanias, in Inschriften steht hingegen Μυανία (vgl. FD III 4,352 col. III,15; CID V 631 und 632).

343 Pausanias erwähnt (freilich ebenfalls in gestörter Überlieferung) die Μύονες auch 6,19,4–5 und erklärt dort den graphischen Unterschied zur Namensvariante Μυονεῖς bei Thukydides; dazu s. G. Maddoli/M. Nafissi/V. Saladino, Pausania, Guida della Grecia. Libro VI (Roma/Milano 1999) 317 f. Inschriftlich belegt ist Μυανεῖς (FD III 4,352 col. II,23–24).

243 Μυόννησος· πόλις μεταξὺ Τέω καὶ Λεβέδου. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 232). Ἀρτεμίδωρος (fr. 128 Stiehle) δὲ χωρίον αὐτήν φησι. ὁ νησιώτης Μυοννήσιος.

244 Μυοῦς· πόλις Ἰωνίας, ὡς Φίλων (FGrHist 790 F 46) καὶ
15 Ἀπολλόδωρος ἐν α̅ Χρονικῶν (FGrHist 244 F 1). Στράβων ι̅β̅ (12,8,17 [C 579,3]) „τὸ περὶ Μαγνησίαν καὶ Μυοῦντα". τὸ ἐθνικὸν Μυούσιος.

245 Μύρα· πόλις Λυκίας, ἀπὸ μύρων ἢ ἀπὸ Μύρωνος ἢ ἀπὸ Μύρου ποταμοῦ παραρρέοντος. ἄμεινον δὲ τὸ πρῶτον. λέγεται καὶ θηλυκῶς καὶ οὐδετέρως. τὸ ἐθνικὸν Μυρεύς.

463 **246 Μυργέται**· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 190). ἔν τισι δὲ τῶν Ἡρωδιανοῦ (2,552,15) γράφεται διὰ <***>γετῶν, κακῶς.

247 Μυρίκη· νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς (1,14 [GGM 1,524,13]).

5 **248 Μυρίανδρος**· πόλις Συρίας πρὸς τῇ Φοινίκῃ. Ξενοφῶν ἐν α̅ Ἀναβάσεως (1,4,6). τὸ κτητικὸν Μυριανδρικὸς κόλπος.

249 Μυρικοῦς· πόλις καταντικρὺ Τενέδου καὶ Λέσβου τῆς Τροίας. Ἑκαταῖος (FGrHist 1 F 222) „ἐς Μυρικόεντα τῆς Τρωικῆς". οἱ πολῖται Μυρικούσιοι.

---

243 Str. 14,1,29 (C 643,29) Ἀττάλου δ' εἰς Μυόννησον αὐτοὺς (sc. τοὺς τεχνίτας) καταστήσαντος μεταξὺ Τέω καὶ Λεβέδου, … . καὶ Τέως δὲ Λεβέδου διέχει ἑκατὸν εἴκοσι· μεταξὺ δὲ νῆσος Ἀσπίς (οἱ δ' Ἀρκόννησον καλοῦσι)· καὶ ἡ Μυόννησος δὲ ἐφ' ὕψους χερρονησίζοντος κατοικεῖται Plin. nat. 5,137 *Myonnesos, Diarrheusa* (*in utraque* [sc. insula] *oppida intercidere*) gentile apud Ephor. FGrHist 70 F 27 **244** Str. 12,8,17 (C 579,1) διατέτακε γὰρ ἀπὸ τῶν πεδίων ἀρξαμένη πᾶσα ἡ τοιαύτη κατασκευὴ τῆς χώρας εἰς τὰ Χαρώνια, τό τε ἐν Ἱεραπόλει καὶ τὸ ἐν Ἀχαράκοις τῆς Νυσαΐδος καὶ τὸ περὶ Μαγνησίαν καὶ Μυοῦντα, et 14,1,10 (C 636,11) ἀναπλεύσαντι δ' ὑπηρετικοῖς σκάφεσι τριάκοντα σταδίους πόλις Μυοῦς, μία τῶν Ἰάδων τῶν δώδεκα, ἣ νῦν δι' ὀλιγανδρίαν Μιλησίοις συμπεπόλισται gentile Μυούσιος apud Str. 14,2,1 (C 651,2) et Paus. 7,2,11, sed Μυήσιος apud Hdt. 6,8,1, Str. 14,1,42 (C 648,31) et in inscriptionibus, cf. e.g. SEG 36 (1986) Nr. 1047,4 et 1048,7 **245** urbis nomen feminini generis apud Porph. FHG III 722 F 7,3,4, Jo. Malal. Chron. 14,24 (p. 286,84 Thurn), etc.; neutrius generis apud Ptol. Geog. 8,17,23, App. BC 4,82, etc. de nominis origine cf. Const. Porph. Them. XIV 18 εἶτα τὴν Λυκίων πόλιν, τὴν μυρίπνουν τε καὶ τρισόλβιον, ἐν ἧπερ ὁ μέγας Νικόλαος, ὁ τοῦ Θεοῦ θεράπων, ἀναβλύζει τὰ μύρα κατὰ τὸ τῆς πόλεως ὄνομα de gentili cf. e.g. D. C. 47,34,6, Suid. μ 1431 et 1433 **247** Ptol. Geog. 4,7,40 (4,7,11) Μετὰ δὲ τὰ Ἀρώματα νῆσοι αἵδε· … Μυρσιάκη (Μυρίκη) νῆσος **248** X. An. 1,4,6 ἐντεῦθεν ἐξελαύνει διὰ Συρίας σταθμὸν ἕνα παρασάγγας πέντε εἰς Μυρίανδον (v.l. Μυρίανδρον), πόλιν οἰκουμένην ὑπὸ Φοινίκων ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον δ' ἦν τὸ χωρίον καὶ ὥρμουν αὐτόθι ὁλκάδες πολλαί de sinu maritimo cf. Hdt. 4,38,2 ἀπὸ τοῦ Μυριανδικοῦ (cod. D, vv. ll., Μυριανδρικοῦ Wesseling) κόλπου τοῦ πρὸς Φοινίκῃ κειμένου

---

243 1 Μυόννησος RQ (cf. Str. 13,2,5 [C 618,31]): Μυόνησος PN 2 χωρίον QPN: χωρὶς R φασιν Q 3 Μυοννήσιος Meineke: μυονήσιος RQPN **244** 3 τὸ ante περὶ RQ Str.: ἡ PN τὸ ante ἐθνικὸν om. RQ **245** 1 Μύρα Holste: Μύρων RQPN ἀπὸ μύρων Holste: ἀπὸ μύρα RQPN 2 ποταμοῦ Ald.: ποτὲ RQPN παραρέοντος R 2–3 θηλυκῶς … οὐδετέρως R[pc]: θηλυκὸν … οὐδέτερον R[ac]QPN **246** 2 δὲ om. PN γράφεται διὰ <***>γετῶν, κακῶς Grumach: γράφεται διὰ γετῶν (γετων Q) κακῶς RQ, γράφεται cum spat. ca. 4 litt. κακῶς P, γράφεται κακῶς N **247** 1 αρκιανὸς R **249** 2 πολίται RN

243. Myonnesos, Stadt zwischen Teos und Lebedos.[344] Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 232). Artemidor (fr. 128 Stiehle) bezeichnet sie jedoch als Festung. Der Inselbewohner <heisst> Myonnesier.[345]

244. Myus, Stadt in Ionien,[346] wie (Herennios) Philon (FGrHist 790 F 46) und Apollodor im ersten Buch der *Chronik* (FGrHist 244 F 1) <angeben>. Strabon <erwähnt den Ort> im zwölften Buch (12,8,17 [C 579,3]): „das Gebiet bei Magnesia und Myus". Das Ethnikon <lautet> Myusier.

245. Myra, Stadt in Lykien,[347] <benannt> nach μύρον (‚Salböl') oder nach <einem gewissen> Myron oder nach Myros, dem dort vorbeiströmenden Fluss. Treffender ist indes die erste Erklärung. Man verwendet <den Stadtnamen> sowohl im Femininum <Singular> als auch im Neutrum <Plural>. Das Ethnikon <lautet> Myreer.

246. Myrgeten, skythisches Volk. Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 190). An einigen Stellen bei Herodian (2,552,15) wird <der Name> jedoch mit <***>geten geschrieben, fälschlicherweise.[348]

247. Myrike, Insel im Roten Meer.[349] Markianos <erwähnt sie> in dessen *Periplus* (1,14 [GGM 1,524,13]).

248. Myriandros, Stadt in Syrien,[350] an der Grenze zu Phönizien <gelegen>. Xenophon <erwähnt sie> im ersten Buch der *Anabasis* (1,4,6). Das Ktetikon <lautet wie in der Bezeichnung> Myriandrischer Golf.

249. Myrikus, Stadt im Gebiet von Troia, gegenüber von Tenedos und Lesbos. Hekataios (FGrHist 1 F 222) <sagt>: „Nach Myrikoeis im troischen Gebiet".[351] Die Bürger <heissen> Myrikusier.

---

344 Inventory Nr. 855.

345 Die Verwendung von νησιώτης (statt πολίτης) könnte durch das Hinterglied -νησος des Ortsnamens verursacht sein oder daher rühren, dass die ionische Stadt auf einer Halbinsel (später Insel) lag. Pinedo hingegen vermutete eine vorgängige Erwähnung der gleichnamigen thessalischen Insel (vgl. Str. 9,5,14 [C 435,13]); so auch Meineke ad loc. „quae sequuntur ita redintegranda videntur: αὐτήν φησι. <τὸ ἐθνικὸν Μυοννήσιος. ἔστι καὶ νῆσος Μυόννησος Θετταλίας.> ὁ νησιώτης Μυοννησίτης".

346 Inventory Nr. 856; Zgusta, Kleinasiatische Ortsnamen § 863; ausführlich Lohmann, Topographie des südlichen Ionien 226–229; vgl. auch oben μ 228.

347 Metropolis von Lykien, s. TIB 8,1,342–359; zum Fluss Myros s. TIB 8,2,741.

348 Das Volk ist sonst nicht bekannt, und über die angeblich falsche Orthographie bei Herodian ist wegen der Textverderbnis nichts auszumachen; vgl. jedoch Λυργετῶν (Westermann) und διὰ γ Γυργετῶν (Meineke). Jacoby (Kommentar zu 1 F 190, S. 350) bringt die Myrgeten in Verbindung mit den Tyrageten, einem Volk zwischen Istros und Borysthenes (s. RE VII A 2,1800).

349 RE XVI 1,1092 Nr. 3; beim somalischen Kap Guardafui gelegen.

350 Ursprünglich Myriandos geschrieben, später gräzisiert zu Myriandros (‚10'000-Männer-Stadt'). Zu Ort und Namensschreibung s. Inventory S. 1213 f.; TIB 5,1,362 f.

351 Nicht weiter belegt; zur Lage s. Cook, The Troad 195. Zur Schreibweise Μυρικοῦς (attisch)/ Μυρικόεις (ionisch) vgl. St. Byz. α 37.

10 **250** **Μύρινα**· πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 138c). ἔστι καὶ τῆς Αἰολίδος ἄλλη. ἀπὸ Μυρίνης ἀμφότεραι ἢ ἀπὸ Μυρίνου. τὸ ἐθνικὸν Μυριναῖος, Μυριναία δὲ ἐπὶ τῆς χώρας, καὶ οὐδετέρως Μυριναῖον.

251 **Μύρκινος**· τόπος καὶ πόλις κτισθεῖσα παρὰ τῷ Στρυμόνι πο-
15 ταμῷ. τὸ ἐθνικὸν Μυρκίνιος καὶ Μυρκινία. Παρθένιος (fr. 47 Lightfoot = SH 659) δὲ Μυρκινίαν αὐτήν φησι.

252 **Μύρλεια**· πόλις Βιθυνίας, ἡ νῦν Ἀπάμεια. ἀπὸ Μύρλου τοῦ Κολοφωνίων ἡγεμόνος. Νικομήδης δὲ ὁ Ἐπιφανής, Προυσίου δὲ υἱός,
20 ἀπὸ τῆς μητρὸς Ἀπάμας Ἀπάμειαν ὠνόμασεν· οἱ δὲ ἀπὸ Μυρλείας Ἀμαζόνος. ὁ πολίτης Μυρλεανός, ὡς Ἀσκληπιάδης Μυρλεανὸς ἀναγράφεται. Στράβων (12,3,22 [C 551,11]) δὲ Μυρλεᾶτιν καλεῖ τὴν χώραν, ἴσως 5
ἀπὸ τοῦ Μυρλεάτης. ἔστι καὶ Μυρλεανὸς κόλπος.

---

250 Sch. A. R. 1,601–04a πόλις δέ ἐστιν ἡ Μυρίνη πρὸς τῷ τέλει τῆς Λήμνου. δίπολις γάρ ἐστιν ἡ Λῆμνος· ἔχει γὰρ Ἡφαιστίαν καὶ Μύριναν. ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικός, Κρηθέως δὲ θυγατρός; EM 595,24   cf. etiam St. Byz. λ 46 (Λῆμνος)   de urbe Aeolica cf. Str. 13,3,5 (C 622,8) Μύρινα …, Αἰολὶς πόλις ἔχουσα λιμένα; Str. 12,8,6 (C 573,17) πόλεις τε παλαιαὶ ὁμολογοῦνται ἐπώνυμοι αὐτῶν (sc. τῶν Ἀμαζόνων)· ἐν δὲ τῷ Ἰλιακῷ πεδίῳ κολώνη τίς ἐστιν, „ἣν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν, | ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης“ (B 813–814), ἣν ἱστοροῦσι μίαν εἶναι τῶν Ἀμαζόνων ἐκ τοῦ ἐπιθέτου τεκμαιρόμενοι (εὐσκάρθμους γὰρ ἵππους λέγεσθαι διὰ τὸ τάχος· κἀκείνην οὖν πολύσκαρθμον διὰ τὸ ἀπὸ τῆς ἡνιοχείας τάχος)· καὶ ἡ Μύρινα οὖν ἐπώνυμος ταύτης λέγεται   Mela 1,90 *primam urbium a Myrino conditore Myrinam vocant*   **251** Hdt. 5,23,1 ἐόντος δὲ τοῦ χώρου τούτου παρὰ Στρυμόνα ποταμόν, τῷ οὔνομά ἐστι Μύρκινος (v.l. Μύρκιννος)   gentile apud Th. 5,6,4; cf. etiam Th. 5,10,9, ubi Μυρκίνιος adiectivi instar adhibetur   **252** St. Byz. α 351 Ἀπάμεια· … . ἔστι καὶ Βιθυνίας, κτίσμα Νικομήδους τοῦ Ἐπιφανοῦς, ἐκαλεῖτο δὲ πρῶτον Μύρλεια. τὸ ἐθνικὸν Μυρλεανός   de urbe a Colophone condita cf. Plin. nat. 5,143   de gentili cf. St. Byz. κ 163 ὡς Μύρλεια Μυρλεανός καθ' ὕφεσιν τοῦ ι, sed etiam St. Byz. α 200,36 ὡς Μύρλεια Μυρλειανός   Str. 12,3,22 (C 551,11) τὰ ἀργυρεῖα … ὅπου τῆς Μυρλεάτιδος ἦν

---

250 3 μυριναῖος, μυριναία δὲ ἐπὶ PN: μυριναῖος δὲ μυριναία (-ναῖα R) ἐπὶ RQ, Μυριναῖος, καὶ Μυριναία ἐπὶ dub. Meineke in app.   **251** 1 Μύρκινος R: Μύρκιννος QPN   περὶ (per comp.) Q   στρύμονι N   2 μυρκίνιος RQN: -κίννιος P   μυρκινία RQ: -κιννία PN   3 Μυρκινίαν dub. Meineke in app.: μυρκιννίαν RQPN   **252** 1 λεγομένη ante Ἀπάμεια add. PN (sed cf. St. Byz. 388,3; 425,9; 429,5, etc.)   μύρλου P[pc](ex μύλου)N: μύρτου R, μυρ cum spat. ca. 2 litt. Q   2 ἐπιφανὴς PN: -φανεὶς RQ   3 ἀπάμειαν ὠνόμασεν PN: ὠνόμασεν ἀπάμειαν RQ   μυρλείας QPN: -λίας R   5 Μυρλεᾶτιν Westermann: -λεάτιν QPN, -λεάτην R   6 ἀπὸ τοῦ μυρλεάτης RQ: ἀπὸ τούτου μ. PN

250. Myrina, Stadt auf Lemnos.[352] Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 138c). Es gibt auch eine weitere <Stadt dieses Namens> in der Aiolis.[353] <Benannt sind> beide nach Myrina oder nach Myrinos. Das Ethnikon <lautet> Myrinaier; Myrinaia <im Femininum verwendet man> jedoch für das Umland, und <das Adjektiv heisst> im Neutrum myrinaisches.[354]

251. Myrkinos, Gegend und Stadt, am Fluss Strymon gegründet.[355] Das Ethnikon <lautet> Myrkinier und Myrkinierin. Parthenios (fr. 47 Lightfoot = SH 659) aber nennt die Stadt Myrkinia.[356]

252. Myrleia, Stadt in Bithynien,[357] das jetzige Apameia. <Benannt war sie> nach Myrlos, dem Anführer der Kolophonier. Nikomedes Epiphanes, Prusias' Sohn, nannte <die Stadt> nach seiner Mutter Apama Apameia;[358] andere aber <sagen, sie habe ihren Namen> von der Amazone Myrleia. Der Bürger <heisst> Myrleaner, wie Asklepiades als Myrleaner aufgeführt ist.[359] Ferner nennt Strabon (12,3,22 [C 551,11]) das Umland Myrleatis (Μυρλεᾶτις), vielleicht in Ableitung von Μυρλεάτης (Myrleat).[360] Ausserdem gibt es einen Myrleaner Golf.

---

[352] Inventory Nr. 502.

[353] Inventory Nr. 822; ausführlich D. Kassab, Myrina, petite cité grecque de la côte occidentale de l'Asie Mineure, in: E. Frézouls (Hg.), Sociétés urbaines, sociétés rurales dans l'Asie Mineure et la Syrie hellénistiques et romaines (Strasbourg 1987) 173–189.

[354] Das Ethnikon Μυριναῖος ist für beide Städte belegt: zur lemnischen Stadt vgl. Hdt. 6,140,2, Charax FGrHist 103 F 18; zur aiolischen Stadt vgl. Str. 13,3,5 (C 622,10). Dasselbe gilt für inschriftliche Belege (s. Inventory Nr. 502 und 822). Das feminine Ethnikon Μυριναία verzeichnet die Inschrift IG II/III^2 3,2,9975 (Frau aus Lemnos); nicht weiter belegt ist hingegen die gleichlautende Bezeichnung für das Umland. Zur adjektivischen Verwendung vgl. Nonn. D. 3,133 Μυριναίῃ τέχνῃ und Call. fr. 384,26 Pfeiffer τὸ Μυριναῖον γάλα, beides Mal in Bezug auf die lemnische Stadt.

[355] Inventory Nr. 633; Papazoglou, Villes de Macédoine 390 f. Vgl. auch St. Byz. α 296 mit Anm. 418.

[356] Die Schreibweise des Toponyms schwankt in der Überlieferung zwischen Μύρκινος und Μύρκιννος, so auch bei Herodot 5,23,1 (wohl die Quelle für den hiesigen Eintrag), ferner 5,11,2. 24,1. 124,2. 126,1; ebenfalls Th. 4,107,3. Wie Meineke (bereits An. Alex. 288) aufmerksam machte, setzt der metrische Kontext bei Parthenios die Form mit einfachem ν, also Μυρκινία voraus; s. Lightfoot, Parthenius 204.

[357] Inventory Nr. 752; Cohen, Hell. settlements 1,392 f. Zu Topographie und Geschichte s. ausführlich Th. Corsten, Die Inschriften von Apameia (Bithynien) und Pylai. IK 32 (Bonn 1987) 1–19 (Quellensammlung).

[358] Stephanos nennt hier sowie im Artikel ‚Apameia' (α 351) Nikomedes II. Epiphanes, Sohn von Prusias II. und Apama, als Gründer von Apameia. Strabon (12,4,3 [C 563,30]) hingegen berichtet, Prusias I. habe die Stadt nach seiner Frau benannt. Welchem der beiden die Stadtgründung tatsächlich zuzuschreiben ist, bleibt umstritten; s. Cohen, a.a.O.

[359] Zu diesem griechischen Grammatiker s. L. Pagani, Asclepiade di Mirlea. I frammenti degli scritti omerici (Roma 2007); dort auch über den umstrittenen Stadtgründer (129–131).

[360] Zu Feminina auf -ᾶτις neben Maskulina auf -άτης vgl. oben κ 101, κ 138, κ 231, usw.

464 **253 Μυρμήκιον**· πολίχνιον τῆς Ταυρικῆς. Στράβων ζ̄ (7,4,5 [C 310,20]). Ἡρωδιανὸς (2,552,19) διὰ διφθόγγου γράφει καὶ προπερισπᾷ. τὸ ἐθνικόν, ἐὰν μὲν διὰ διφθόγγου, Μυρμηκειεύς, εἰ δὲ διὰ τοῦ ι γράφεται, Μυρμήκιος. Ἀρτεμίδωρος (fr. 69 Stiehle) δὲ Μυρμηκίαν αὐτήν φησι.

6 **254 Μυρμιδονία**· χώρα τῶν Μυρμιδόνων· οὕτως γὰρ ἡ Αἴγινα ἐκλήθη.

255 Μυρμισσός· πόλις περὶ Λάμψακον, ὡς Πολέμων (fr. 33 Preller). τὸ ἐθνικὸν Μυρμίσσιος.

22 Str. 9,4,7 (C 426,37) ὠνόμασται (sc. ἡ Ναύπακτος) δ' ἀπὸ τῆς ναυπηγίας τῆς ἐκεῖ γενομένης, εἴτε τῶν Ἡρακλειδῶν ἐκεῖ ναυπηγησαμένων τὸν στόλον εἴθ' – ὥς φησιν Ἔφορος (FGrHist 70 F 121) – Λοκρῶν ἔτι πρότερον παρασκευασάντων· ἔστι δὲ νῦν Αἰτωλῶν, Φιλίππου προσκρίναντος Suid.* ν 66 Ναύπακτος· πόλις Αἰτωλική. ἀπὸ τῆς ἐκεῖ ναυπηγίας τῶν Ἡρακλειδῶν πρὶν ἢ κατασχεῖν τὴν Πελοπόννησον. ὁ πολίτης, φασί, Ναυπάκτιος cf. etiam Sch. D. 9,38; Paus. 10,38,10; Apollod. 2,8,2; Eust. ad B 535 (I 423,33); EM 598,26 **23** Str. 8,6,2 (C 368,28) ἡ Ναυπλία, τὸ τῶν Ἀργείων ναύσταθμον· τὸ δ' ἔτυμον ἀπὸ τοῦ ταῖς ναυσὶ προσπλεῖσθαι Suid.* ν 67 Ναυπλία· πόλις Ἄργους. παρὰ τὸ ναυσὶ προσπλεῖσθαι. οἱ πολῖται Ναυπλιεῖς **24** Suid.* ν 103 Νέαι· νῆσος πλησίον Λήμνου (παρὰ τὸ νέω, τὸ κολυμβῶ), ᾗ προσενήξατο, φασίν, Ἡρακλῆς. περὶ ἣν κατά τινας Φιλοκτήτης ἐδήχθη ὑπὸ ὕδρου. Νέα δὲ φρούριον Μυσίας. ἐθνικὸν Νεαῖος Ps.-Antig. 9 Musso Ἐν δὲ ταῖς τῶν Λημνίων νήσοις ταῖς καλουμέναις Νέαις Plin. nat. 2,202 *inter Lemnum et Hellespontum Neae* cf. etiam Plin. nat. 4,72 (*Neam*); AP 15,25,25; Hsch. ν 167 de Νέα κώμη cf. Str. 12,3,23 (C 552,2); 13,1,45 (C 603,20 et 28), ubi lectio Αἰνέα (κώμη) potior aestimatur; sed *Nea* (sc. *oppidum Troadis*) nominatur a Plin. nat. 2,210; 5,124

---

22 1 ἡρακλειδῶν PN: ἡρακλεί cum spat. ca. 4 litt. RQ(sine acc.) **23** 1 πόλις iter. P 3 καὶ ναυπλία RQPN: <καὶ Ναύπλιος> καὶ Ναυπλία susp. Meineke (mon. Berkel) **24** 1 φιλοκτίτης Q 2 προσνήσασθαι R 3 κώμη καὶ φρούριον PN

22. Naupaktos, Stadt in Aitolien;[35] <sie hat ihren Namen> vom Schiffsbau der Herakleiden, wie Ephoros (FGrHist 70 F 121) und Strabon (9,4,7 [C 426,36]) <erklären>.[36] Der Bürger <heisst> Naupaktier und <im Femininum> Naupaktierin.

23. Nauplia, Stadt im Gebiet von Argos.[37] Strabon <sagt> im achten Buch (8,6,2 [C 368,28]), <sie sei so benannt>, weil „sie von den Schiffen angesegelt wird". Die Bewohner <heissen> Nauplieer, wie Strabon (8,6,14 [C 374,8]) <zu erkennen gibt>, und <im Femininum> Ναυπλία (Nauplierin, nauplische).[38]

24. Neai, Insel in der Nähe von Lemnos, auf der laut einigen Philoktet von einer Wasserschlange gebissen worden ist.[39] Benannt ist sie indes davon, dass Herakles <zu dieser Insel> hingeschwommen (νήξασθαι) sei. Das Ethnikon <lautet> Neaier. Es gibt auch Nea Kome, eine Festung in Mysien. Das Ethnikon ist dasselbe <wie bei Neai>.[40]

---

35 Inventory Nr. 165; TIB 3,210f.

36 Die Angabe über Ephoros ist bei Strabon etwas differenzierter, auch wenn letztlich unklar bleibt, ob die Lokrer die ersten Schiffsbauer waren oder die Flotte im Auftrag der Naupaktier bauten; s. Radt, Kommentar 7,91.

37 Über den antiken Ort immer noch nützlich RE XVI 2,2002–2004; s. auch Inventory S. 602.

38 Die feminine Form Ναυπλία wird wie Ναύπλιος offenbar nur adjektivisch gebraucht, letzteres wohl, um Verwechslung mit dem Eponym Nauplios, Sohn des Poseidon, zu vermeiden; vgl. Hdt. 6,76,2 χώρην Ναυπλίην, E. Or. 369 Ναυπλίας χθονός, E. Hel. 1586 ἀκτὰς Ναυπλίας.

39 TIB 10,240–242.

40 Der zweitgenannte Ort (Νέα κώμη) hat manches Kopfzerbrechen verursacht. Zwar überliefern in Str. 13,1,45 (C 603,20) die Hss ein Toponym ἡ *νέα κώμη* in der Troas, aber im Licht der kurz darauf folgenden Wiedererwähnung des Ortes mit Namen Αἰνέα (C 603,28; vgl. auch 12,3,23 [C 552,2]) überzeugt die Lesart kaum; s. Radt, Kommentar 7,378. Ob Stephanos hier also einer fehlerhaften Überlieferung bei Strabon folgte oder den Ortsnamen aus einem anderen Gewährsmann schöpfte, lässt sich nicht mehr eruieren. Immerhin kennt auch Plinius ein *oppidum Troadis* namens *Nea* (nat. 2,210; 5,124). Beim Ethnikon, welches als τὸ αὐτὸ bezeichnet wird (also gleichlautend wie von Νέαι), entspräche die Form Νεαῖος dem Bildungstypus ἀπὸ δύο ἕν (vgl. St. Byz. α 411; 504,16); denn Ortschaften mit κώμη als zweitem Glied, behalten dieses normalerweise auch im Ethnikon. Dass die Ungereimtheiten bereits den Schreibern aufgefallen sind, zeigt die Hs P (und in ihrer Folge N), wo κώμη wenig überzeugend dem Interpretamentum zugeschlagen wird, Νέα· κώμη καὶ φρούριον. Vgl. St. Byz. 548,20 πόλις … καὶ φρούριον.

25 Νεάνδρεια· πόλις Τρωάδος ἐν Ἑλλησπόντῳ, ὡς Χάραξ (FGrHist 103 F 59). ἔν τισι δὲ Λέανδρος γράφεται διὰ τοῦ λ, κακῶς. λέγεται καὶ Νεάνδρειον οὐδετέρως, ὡς Θεόπομπος (FGrHist 115 F 374). ὁ πολίτης Νεανδρεύς, ὡς Στράβων (13,1,51 [C 606,8]).

26 Νεάπολις· Ἰταλίας πόλις διάσημος, ἐν ᾗ Παρθενόπη ᾕρηται μία τῶν Σειρήνων. ὁ πολίτης Νεαπολίτης. ἔστι καὶ ἄλλη Λιβύης καὶ ἄλλαι.

27 Νέγλα· πολίχνιον Ἀραβίας. Γλαῦκος β̅ Ἀραβικῆς ἀρχαιολογίας (FGrHist 674 F 5). τὸ ἐθνικὸν Νέγλιος, ἢ Νεγλίτης τῷ ἔθει τῆς χώρας.

28 Νέδη· ποταμὸς Ἀρκαδίας, ἀπὸ νύμφης Νέδης. Εὐφορίων (fr. 174 Lightfoot = fr. 170 Powell) δὲ Νεδέην {καὶ} αὐτήν φησι. τὸ κτητικὸν Νεδεήσιος.

29 Νέδων· ποταμὸς καὶ τόπος τῆς Λακωνικῆς. τὸ τοπικὸν Νεδούσιος καὶ Νεδουσία ἡ Ἀθηνᾶ. κλίνεται δὲ Νέδοντος.

---

25 Suid.* *ν* 105 Νεάνδρεια, ἢ Νεάνδρειον οὐδετέρως. πόλις Τρῳάδος Ἑλλησποντία, ἣν τινες Λεάνδρειαν διὰ τοῦ λ γράφουσι, κακῶς   de forma Νεάνδρεια cf. Ps.-Scyl. 96   formam Νέανδρος invenias apud Georg. Cedren. 1,221,7 et 14 (PG CXXI p. 256B); cf. Plin. nat. 5,122 (*Neandros*)   gentile Νεανδρεύς invenitur in X. HG 3,1,16 (et cf. St. Byz. 661,10), sed apud Strabonem urbs Νεανδρία (13,1,47 [C 604,18]) appellatur et eius gentile Νεανδριεύς (13,1,51 [C 606,8]); Ps.-Antig. 171 Musso; Νεανδρειεύς in inscriptionibus (e.g. IG I^3 1,280 col. II,12)   **26** St. Byz. 656,20 πόλις ἐν Ὀπικοῖς, εἰς ἣν ἐξεβράσθη Παρθενόπη ἡ Σειρήν, ἣ καλεῖται Νεάπολις   Suid.* *ν* 115 Νεάπολις· πόλις Ἰταλικὴ διάσημος, ἐν ᾗ Παρθενόπις ἵδρυται Σειρῆνος ἄγαλμα. πολλαὶ δὲ καὶ ἄλλαι Νεαπόλεις   de sirena Parthenope eiusque tumulo et sollemnibus cf. Str. 1,2,13 (C 23,5); 5,4,7 (C 246,4); Eust. D. P. 358 (p. 280,22); Plin. nat. 3,62   Neapolis in Libya sita etiam Leptis Magna appellatur, de qua cf. Ps.-Scyl. 109,4; Ptol. Geog. 4,3,13 (4,3,3); Str. 17,3,18 (C 835,8); D. P. 205; sed est etiam alia a Poenis condita, de qua cf. Th. 7,50,2; Ps.-Scyl. 110,10; Ptol. Geog. 4,3,8 (4,3,2); Str. 17,3,16 (C 834,10)   **27** Suid.* *ν* 129 Νέγλη· πολίχνιον Ἀραβίας   cf. etiam Ptol. Geog. 5,17,5 (5,16,4) Νέκλα; Tab. Peut. 8,5 (*Negla*)   **28** Suid.* *ν* 130 Νέδη· πόλις Ἀρκαδίας, ἀπὸ νύμφης Νέδης. γράφεται καὶ Νεδέοι· ὅθεν ὁ πολίτης Νεδεήσιος   de urbe ita appellata nihil constat; de nympha Neda et flumine ab ea nominato cf. Call. Jov. 33; Paus. 4,33,1; 8,38,3   flumen describunt Str. 8,3,22 (C 348,16); Paus. 4,20,2; 4,36,7; 5,6,3; 8,41,3   **29** Str. 8,4,4 (C 360,13) παρὰ δὲ Φαρὰς Νέδων ἐκβάλλει ῥέων διὰ τῆς Λακωνικῆς, ἕτερος ὢν τῆς Νέδας· ἔχει δ' ἱερὸν ἐπίσημον Ἀθηνᾶς Νεδουσίας (καὶ ἐν Ποιαέσσῃ δ' ἐστὶν Ἀθηνᾶς Νεδουσίας ἱερόν, ἐπώνυμον τόπου τινὸς Νέδοντος, …)   Suid.* *ν* 131 Νέδων· ποταμὸς καὶ τόπος Λακωνικῆς. κλίνεται Νέδοντος· ὅθεν Νεδουσία Ἀθηνᾶ. ζήτει καὶ τὸν παρὰ Λυκόφρονι   de declinatione (utrum in -οντ- an in -ων-) disserit Hdn. 2,729,21; in Str. 8,3,29 (C 353,14) legitur τοῦ Νέδωνος   mons Νέδων apud Lyc. 374

---

25 2 λέανδρος RQPN: Λεάνδρεια Salmasius   γράφεται Q: om. R, γράφει PN   3 Νεάνδρειον Holste (cl. Suid.* *ν* 105): νεάνδριον RQPN   4 καὶ Νεανδριεύς post Νεανδρεύς add. Grumach   **26** 1 ἰταλίας πόλις διάσημος RQ: ἰταλίας διάσημος P, πόλις ἰταλίας διάσημος N   ᾕρηται Westermann: ἥρηται N, εἴρηται RQP   2 λιβύης R^{pc}QPN: λιβύβης R^{ac} **27** 1 ἀρχαιολογίας RQ: γενεαλογίας PN   **28** 1 ποταμὸς Pinedo: πόλις RQPN   2 καὶ secl. Meineke   αὐτὴν R: per comp. QP, αὐτὸς N   <ὅθεν> ante τὸ κτητικὸν Berkel (e Suid.* *ν* 130), <καὶ> Grumach   **29** 1 ποταμὸς Holste (cl. Suid.* *ν* 131): πόλις RQPN

25. Neandreia, Stadt in der Troas,[41] am Hellespont <gelegen>, wie Charax (FGrHist 103 F 59) <angibt>. In gewissen <Schriften> wird <der Stadtname> fälschlicherweise als Leandros mit λ geschrieben. Man sagt auch Neandrion im Neutrum, wie Theopomp (FGrHist 115 F 374) <bezeugt>.[42] Der Bürger <heisst> Neandreer, wie Strabon (13,1,51 [C 606,8]) <zu erkennen gibt>.

26. Neapolis, berühmte Stadt Italiens,[43] wo Parthenope, eine der Sirenen, <aus dem Meer> geborgen wurde. Der Bürger <heisst> Neapolit. Es gibt noch eine andere <gleichnamige Stadt> in Libyen und weitere <anderswo>.[44]

27. Negla, Kleinstädtchen in Arabien. Glaukos <erwähnt es> im zweiten Buch seiner *Arabischen Altertumskunde* (FGrHist 674 F 5). Das Ethnikon <lautet> Neglier oder nach Landesbrauch Neglit.[45]

28. Nede, Fluss in Arkadien,[46] <benannt> nach der Nymphe Nede. Euphorion (fr. 174 Lightfoot = fr. 170 Powell) aber nennt sie Nedeë; das Ktetikon <lautet> nedeësischer.

29. Nedon, Fluss und Ort in Lakonien.[47] Das Topikon <lautet> Nedusischer, und Nedusia <mit Beiname heisst die dort verehrte> Athena. Dekliniert wird <der Name im Genitiv> Νέδοντος.

---

[41] Inventory Nr. 785.

[42] Die Hss der *Ethnika* überliefern drei Namensformen, nämlich Νεάνδρεια, Λέανδρος und Νεάνδριον. Suid.* ν 105 hingegen nennt neben demselben Lemma die Varianten Λεάνδρεια und Νεάνδρειον. Daraus korrigierte Salmasius hier Λεάνδρεια, wogegen bereits Berkel monierte, dass der Stadtname Νέανδρος durchaus belegt sei, s. Similia. Zustimmung fand Holstes Verbesserung aus der Suda zur Diphthongform Νεάνδρειον; für eine Analogie vgl. unten ν 57/ν 58 Νικομήδεια/Νικομήδειον mit dem einheitlichen Ethnikon Νικομηδεύς. Die Namensvariante Νεανδρία, welche Str. 13,1,47 (C 604,18) überliefert und wozu er das Ethnikon Νεανδριεύς gibt, fehlt hingegen, dies in Abweichung vom Zitat bei Stephanos.

[43] Inventory Nr. 63; BTCGI 12,165–239.

[44] Zu Leptis Magna s. DNP 7,75–79; zu Neapolis in Africa Proconsularis s. DNP 8,776 Nr. 9.

[45] Nordöstlich von Petra gelegen; vgl. RE XVI 2,2177. In α 55 bezeichnet Stephanos Ethnika auf -ηνός als den kanonischen Bildungstypus arabischer Toponyme im Neutrum Plural auf -α; als Variante lässt er auch die Formen auf -ίτης gelten, wie sie tatsächlich auch sonst für Orte in Arabia Felix genannt werden, so μ 43 Μαλσανίτης· ἐπιχώριος γὰρ ὁ τύπος, vgl. auch δ 31, ferner μ 266; 600,4. Mag sein, dass die Nähe zu Ägypten, wo die Ethnika auf -ίτης epichorisch sind, auf den wechselnden Gebrauch einen Einfluss hatte.

[46] Die Bestimmung von Nede als Stadt, wie sie auch der Einschub in der Suda (ν 130) übernimmt, ist irrig und geht, offensichtlich bereits im Archetypus, auf ein falsch aufgelöstes Kürzel für ποταμός zurück. Dass Stephanos den gut bekannten Fluss mit einer sonst nirgends genannten Stadt dieses Namens verwechselt hätte, ist unwahrscheinlich. Für spätere Verwechslung spricht auch die Angabe eines Ktetikons (anstatt des Ethnikons).

[47] Wie im vorausgehenden Artikel überliefern auch hier die Hss πόλις (anstatt ποταμός), richtig hingegen Suid.* ν 131.

30 Νεῖλος· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει αὐτῆς (FGrHist 1 F 319) „<***> καὶ ἱερὸν Νείλου τοῦ ποταμοῦ“. τὸ ἐθνικὸν τῆς πόλεως Νειλοπολίτης. εἰ δὲ ἡ πόλις μόνη κέκληται, ὀφείλει ἕπεσθαι τῷ κτητικῷ
20 τοῦ ποταμοῦ Νειλαῖος, ὡς Ἀπολλώνιός (GG II 3,47,23) φησιν· „ὅσα γὰρ τῶν κτητικῶν δίχα τοῦ ι ἢ τὴν γενικὴν ποιεῖ τοῦ πρωτοτύπου ἢ τὴν 5 εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ι ἐκφέρεται· Ποσειδώνιος Ἑλικώνιος
472 Ῥόδιος Σάκιος. τὰ δὲ φύσει διὰ διφθόγγου παραληγόμενα οὐδέποτε τὸ προκείμενον σχῆμα ἀποτελεῖ· οὔτε γὰρ τὸ κηπαῖος ἢ Νειλαῖος ἐθνικὸν αὐτὸ ὁμολόγως παραλαμβάνει“.

31 Νέμαυσος· πόλις Ἰταλίας, ἀπὸ Νεμαύσου Ἡρακλείδου, ὡς Παρ-
5 θένιος (fr. 52 Lightfoot = SH 664). τὸ ἐθνικὸν Νεμαύσιος ἢ Νεμαυσῖνος διὰ τὴν χώραν.

---

30 Ptol. Geog. 4,5,56 (4,5,26) Νείλου πόλις cf. etiam D. S. 1,85,2; Eus. HE 6,42,3 de gentili Νειλαῖος cf. St. Byz. β 85; ι 108 de localibus a Nilo derivatis cf. Eust. ad δ 351 (I 170,10), qui tamen Νειλαῖος non numerat **31** Suid.* *ν* 148 Νέμαυσος· πόλις Ἰταλική. ἀπὸ Νεμαύσου Ἡρακλείδου urbem non Italiae sed Galliae laudant Str. 4,1,3 (C 178,28); 4,1,12 (C 186,33); Ptol. Geog. 2,10,10 (2,10,6); 8,5,7; Plin. nat. 3,37

---

30 1 Νεῖλος· πόλις QPN: Νεῖλος πόλις R, Νείλου πόλις Grumach (mon. Berkel, qui etiam <πόλις> Αἰγύπτου susp.) 2 lac. indic. Lentini τοῦ om. N 3 ἡ πόλις <Νεῖλος> Salmasius 5 κτητικῶν δίχα Hermann: κτητικῶν ἀρ cum spat. ca. 3 litt. RQ, κτητικῶν cum spat. ca. 4 litt. PN, κ. παραληγόμενα διὰ Salmasius 6 ἐκφέρεται R[pc]QP: γράφεται R[ac], ἐκφέρονται N 7 ῥόδιος N: ῥίδιος RQP Σάκιος Holste: σάβιος RQP[pc](ex βάβ-)N φύσει QPN: φυλάσσοντα R παραληγόμενα QPN: -λήγεται R 8 οὔτε RQPN: οὐδὲ Meineke 9 ὁμολόγως RQPN: ὁμολογουμένως Hermann, ἀναλόγως Lentz παραλαλαμβείνει R **31** 1 ἰταλίας RQPN: Γαλλίας Xylander

30. Neilos, Stadt in Ägypten.[48] Hekataios <erwähnt sie> in der *Beschreibung Ägyptens* (FGrHist 1 F 319): „<***> und ein Heiligtum des Flusses Nil".[49] Das Ethnikon <zum Namen> der Stadt <lautet> Neilopolit. Wenn jedoch der Stadtname <Neilos> allein genannt ist, muss <das Ethnikon> dem <zum Namen> des Flusses <Neilos gehörigen> Ktetikon folgen <und entsprechend> Neilaier <lauten>, wie Apollonios (Dyskolos, GG II 3,47,23) festhält: „Denn diejenigen Ktetika, die nach Beseitigung des <Buchstabens> ι entweder den Genitiv oder den Nominativ des Stammwortes ergeben, werden alle nur durch <Einfügung> von ι gebildet: Poseidonios, Helikonios, Rhodios, Sakios. Die <Ktetika> hingegen, die von Natur aus in der vorletzten Silbe einen Diphthong haben, erfüllen die vorliegende Regel nie; denn auch das Adjektiv κηπαῖος (‚zum Garten gehörig') oder das Ethnikon Νειλαῖος übernehmen die Bildungsregel nicht in entsprechender Weise".[50]

31. Nemausos (Nîmes), Stadt in Italien,[51] nach dem Herakliden Nemausos <benannt>, wie Parthenios (fr. 52 Lightfoot = SH 664) <angibt>. Das Ethnikon <lautet> Nemausier oder nach landesüblichem <Brauch> Nemausiner.

---

[48] Die Textgestaltung des Lemmas stützt sich, neben der nachfolgenden Diskussion über die Bildung des Ethnikons, vor allem auf St. Byz. β 85 Βῆλος· ἡ καὶ Μῆλος … τὸ ἐθνικὸν Βηλαῖος καὶ Μηλαῖος, ὡς Νεῖλος Νειλαῖος, ähnlich ι 108. Als Name mehrerer Städte belegt ist Νείλου πόλις, s. Similia; ferner Calderini/Daris, Dizionario 3,4,327–329 und Suppl. 1,204; 2,131; 3,80.

[49] Nicht nur ist der Übergang zum Flussnamen zu abrupt, sondern auch καὶ lässt erwarten, dass Hekataios zuerst die Stadt (Neilos) nannte, wo sich eben das entsprechende Heiligtum befunden haben wird.

[50] Durch die Lücke hat der Text an Klarheit eingebüsst; doch bleibt ersichtlich, dass es um die Adjektivbildung auf -ιος und -αῖος geht, wie sie von den Grammatikern offenbar mehrfach diskutiert wurde, so z. B. auch Theognost. An. Ox. 2,52,22. 55,1. 56,9; EM 387,35. Hermanns Ergänzung ist die wirtschaftlichste und trägt dem Stil der Epitome Rechnung. In Hdn. 2,875,17 ὅσα γὰρ τῶν κτητικῶν παράγεται διὰ τοῦ ι ἢ παρὰ τὴν γενικὴν τοῦ πρωτοτύπου ἢ τὴν εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ι ἐκφέρεται gestaltet Lentz den Kanon zwar expliziter, nimmt dafür aber stärkere Eingriffe in den überlieferten Text in Kauf.

[51] Die einheitliche Überlieferung Ἰταλίας wird durch den Eintrag in der Suda (πόλις Ἰταλική) geschützt. Obwohl Strabon und andere die Lokalisierung in Gallien verbürgen (s. Similia), widerrät die Angabe des alternativen Ethnikons, mit Xylander zu Γαλλίας zu ändern. Bildung auf -ῖνος ist für die Ethnika italischer Toponyme charakteristisch, vgl. etwa St. Byz. α 34, α 279, μ 143, ν 35, ferner ι 68 mit Anm. 70.

32 Νεμέα· χώρα τῆς Ἤλιδος. ἐν ταύτῃ Δρύοπες ᾤκουν. <***> τὸ ἐθνικὸν Νέμεος καὶ Νεμεαῖος. Στράβων η̅ (8,6,19 [C 377,30]). καὶ Νέμεα λέγεται, καὶ Νεμεήτης ὁ Ζεύς, καὶ Νεμεῆται. οἱ πολῖται τῆς Λοκρίδος
10 πόλεως Νέμειοι. καὶ Νεμέηθεν ἐπίρρημα.

33 Νεοκαισάρεια· Ποντικὴ πόλις. τὸ ἐθνικὸν Νεοκαισαρεύς, ὡς Φλέγων ι̅ε̅ Ὀλυμπιάδων (FGrHist 257 F 18). οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται. ἔστι καὶ Βιθυνίας.

34 Νέον τεῖχος· <πόλις> τῆς Αἰολίδος. ὡς Χωλὸν τεῖχος. τὸ ἐθνικὸν
15 Νεοτειχίτης ὡς Χωλοτειχίτης. <καὶ Νεοτειχεύς> ὡς Ἡρόδοτος ἐν Ὁμήρου βίῳ (10).

35 Νέπετος· πόλις Ἰταλίας. Διονύσιος ι̅γ̅ Ῥωμαϊκῆς ἀρχαιολογίας (vol. 4, p. 246 Jacoby). τὸ ἐθνικὸν Νεπεσῖνος. ἡ τροπὴ δὲ τοῦ τ εἰς σ ἰδιάζουσα καὶ σεσημείωται.

20 **36 Νέσσων**· πόλις Θεσσαλίας. Διονύσιος γ̅ Γιγαντιάδος (fr. 31 Livrea = p. 61 Heitsch). τὸ ἐθνικὸν Νεσσωνίτης τῷ κοινῷ τύπῳ.

---

32 Str. 8,6,19 (C 377,29) ἡ Νεμέα μεταξὺ Κλεωνῶν καὶ Φλιοῦντος καὶ τὸ ἄλσος, ἐν ᾧ καὶ τὰ Νέμεα συντελεῖν ἔθος τοῖς Ἀργείοις   Suid.* ν 167 Νέμειος· ὁ ἐν τῇ Νεμέᾳ. τῇ Λοκρικῇ δηλαδή. ὁ γὰρ τῆς κατὰ τὴν Ἦλιν Νεμέας πολίτης Νέμεος ἀναγράφεται καὶ Νεμεαῖος, ἤδη δὲ καὶ Νεμεήτης· ὡς δῆλον ἐκ τοῦ Ζεὺς Νεμεήτης   de gentili Νεμεήτης cf. Posidipp. Epigr. 79,3 Austin/Bastianini Ζεῦ … Νεμεᾶτα; App. Anth. III 130,4 (= Sch. Pl. Lg. 12,950e) Νεμεᾶται   de Nemea in Locride sita cf. Th. 3,96,1; Plu. Moralia 162d Λοκρικὸν Νέμειον   de adverbio cf. Call. Aet. fr. 54i,8 Harder = fr. 59,8 Pfeiffer Νεμέηθε   **33** Suid.* ν 190 Νεοκαισάρεια· Ποντική, φασί, πόλις. οἱ αὐτῆς καὶ Ἀδριανουπολῖται. ἔστι δὲ καὶ Βιθυνίας   de urbe Pontica cf. Plin. nat. 6,8; Ptol. Geog. 5,6,10 (5,6,9); Greg. Nyss. PG XLVI p. 897,53D; Hierocl. 702,4   de urbe in Bithynia sita cf. Hierocl. 693,4   **34** Suid.* ν 199 Νέον τεῖχος· τῆς Αἰολίδος ἐστὶ τόπος. ὁ ἐκεῖθεν Νεοτειχίτης. ὡς καὶ τοῦ Χωλὸν τεῖχος τὸ περὶ Καρίαν Χωλοτειχίτης τὸ τοπικόν   Ps.-Hdt. Vit. Hom. 10 Τέως μὲν οὖν κατεῖχεν ὁ Μελησιγένης περὶ τὸ Νέον τεῖχος, … . ἐδείκνυον δὲ οἱ Νεοτειχεῖς μέχρις ἐπ' ἐμοῦ τὸν χῶρον   **35** Suid.* ν 249 Νέπετος· πόλις Ἰταλίας. παρὰ Διονυσίῳ ἐν Ῥωμαϊκοῖς. τὸ ἐθνικὸν σεσημείωται· Νεπεσῖνος γάρ, τροπῇ τοῦ τ εἰς σ   cf. etiam Str. 5,2,9 (C 226,12) Νέπιτα; Ptol. Geog. 3,1,50 (3,1,43) Νέπετα   de gentili cf. Liv. 5,19,7; 6,10,1; 26,34,10   **36** Suid.* ν 257 Νέσσων· πόλις Θεσσαλίας. καὶ λίμνη Νεσσωνίς

---

32 1 ἤλιδος RQPN (cf. Suid.* ν 167): Ἀργολίδος K.O. Müller (Die Dorier I [[2]1844] 86 n. 3)   lac. indic. Meineke („excidisse opinor ἔστι καὶ ἄλλη Λοκρίδος")   2 Νέμεα Pinedo: *νεμέα* QPN, *νεμαία* R   4 *νέμειοι* QPN: *νέμιοι* R   Νεμέηθεν Meineke: -εῆθεν RQPN   **33** 2 Ὀλυμπιάδων Meineke (cf. eiusdem adn. ad p. 204,2): ὀλυμπιάδος RQPN   **34** 1 πόλις add. Berkel (cl. Hdt. 1,149,1), qui etiam de voce τόπος (cl. Suid.* ν 199) cogitavit   2 χολοτειχίτης R[ac]   καὶ Νεοτειχεύς add. Holste   **35** 1 Νέπετος et infra *νεπεσῖνος* RQ: Νέσπετος et *νεσπεσῖνος* PN   ἀρχαιολογίας RN: ἀρχῆς QP   **36** 1 γιγαντιάδος RQP: -τίδος N   2 *νεσσωνίτης* QPN: -ῖτις R

32. Nemea, Landschaft von Elis.[52] Dort wohnten <früher> die Dryoper.[53] <***> Das Ethnikon <lautet> Nemeer und Nemeaier. Strabon <bespricht Nemea> im achten Buch (8,6,19 [C 377,30]). Auch spricht man von den Nemeischen Spielen,[54] und Zeus <trägt dort den Beinamen> Nemeëtes, und <entsprechend bildet man im Plural> Nemeëten. Die Bürger der lokrischen Stadt <heissen hingegen> Nemeier. Und das Adverb <lautet> ‚aus Nemea' (Νεμέηθεν).[55]

33. Neokaisareia, pontische Stadt. Das Ethnikon <lautet> Neokaisareer, wie Phlegon im fünfzehnten Buch der *Olympiaden* (FGrHist 257 F 18) <zu erkennen gibt>. Dieselben <Bürger heissen> auch Adrianopoliter. Es gibt auch in Bithynien <eine Stadt namens Neokaisareia>.[56]

34. Neon Teichos (Neue Festung), Stadt in der Aiolis,[57] <eine Namensform> wie Cholon Teichos (Lahme Festung). Das Ethnikon <lautet> Neoteichit, wie Choloteichit, und Neoteicheer, wie Herodot im *Leben Homers* (10) <es gebraucht>.

35. Nepetos, Stadt in Italien.[58] Dionysios <erwähnt sie> im dreizehnten Buch seiner *Römischen Altertumskunde* (Bd. 4, S. 246 Jacoby). Das Ethnikon <lautet> Nepesiner. Die <lautliche> Umwandlung von τ zu σ ist eigentümlich und als Ausnahme vermerkt.

36. Nesson, Stadt in Thessalien.[59] Dionysios <erwähnt sie> im dritten Buch der *Gigantias* (fr. 31 Livrea = S. 61 Heitsch). Das Ethnikon <lautet> Nessonit, <gebildet> nach der gewöhnlichen Ableitungsweise.

---

52 Sofern nicht Textverderbnis vorliegt, könnte die irrige Lokalisierung nach Elis anstatt in die Argolis von der Verwechslung mit dem elischen Olympia herrühren, einem anderen berühmten Wettkampfort.

53 Das Tal von Nemea als Siedlungsort der Dryoper ist sonst nicht belegt; s. dazu O. Strid, Die Dryoper. Eine Untersuchung der Überlieferung. Studia Graeca Upsaliensia 20 (Uppsala 1999) 46.

54 Pinedos Konjektur (τὰ) Νέμεα ist schwer auszuweichen, zumal einerseits ein Hinweis auf die Spiele erwartet wird und andererseits die feminine Singularform Νεμέα mit dem Interpretament χώρα bereits im Lemma erscheint.

55 Die *Ethnika* verzeichnen nur eine Auswahl der zahlreichen Ableitungen vom Toponym; s. RE XVI 2,2311–2313.

56 Über beide Städte s. DNP 8,824 f.

57 Inventory Nr. 824. Berkels Ergänzung drängt sich auf, und zwar sowohl im Licht des analogen Beispiels (698,19 Χωλὸν τεῖχος· πόλις Καρίας), als auch mit Blick auf die zahlreichen ähnlichen mit τεῖχος zusammengesetzten Toponymen, so α 19, α 41, α 161, γ 100, δ 78, ε 31 usw.

58 Zur etruskischen Gründung Nepet (heute Nepi) s. BTCGI 12,323–332.

59 Die Stadt ist unbekannt im Gegensatz zum See Nessonis; s. RE XVII 1,79 f.

37 Νέστος· πόλις καὶ ποταμὸς Ἰλλυρίας. τὸ ἐθνικὸν Νέστιος, ὡς
473 Ἀρτεμίδωρος β̅ Γεωγραφουμένων (fr. 27 Stiehle), καὶ Νεστίς ἡ χώρα.

38 Νευροί· ἔθνος τῆς Σαρματίας. Διονύσιος ἐν Περιηγήσει (310). καὶ Νευρίς ἡ χώρα. λέγονται καὶ Νευρῖται.

5 **39 Νεφελοκοκκυγία**· πόλις κωμικῶς ἐπινοηθεῖσα παρὰ Ἀριστοφάνει (Av. 819), καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη. τὸ ἐθνικὸν Νεφελοκοκκυγιεύς.

40 Νεφθαλῖται· ἔθνος κρατῆσαν τῆς ἕω, ὡς Ἰώσηπος (AJ 5,86). καὶ θηλυκῶς Νεφθαλῖτις.

10 **41 Νέων**· πόλις Φωκίδος. Ἡρόδοτος η̅ (8,32,1). τὸ ἐθνικὸν Νεώνιος ὡς Ἐλεών Ἐλεώνιος, καὶ Νεωνία καὶ Νεωναῖος.

42 Νήιον· ὄρος Ἰθάκης, ἀφ' οὗ κατὰ Κράτητα (fr. 47 Broggiato) αἱ *νηιάδες*. οἱ δὲ τὰς διατριβούσας περὶ τὰ *νάματα*. τὸ δὲ *ὑπονήιον* σύνθετον ὡς τὸ Ἐπικνημίδιοι. αἱ δὲ *νηιάδες* ἀπὸ τοῦ Νήιος ἢ ἀπὸ τοῦ Νηιεύς.

---

37 de flumine et gente cf. Ps.-Scyl. 22,3 ἐπὶ Νέστον ποταμὸν et 24,1; A. R. 4,1215 Νεσταίους cum Sch. ad loc. τοὺς Νεσταίους Σκύλαξ (FGrHist 709 F 9) φησὶν ἔθνος Ἰλλυρικόν· ἀπὸ τούτων παράπλους ἐστὶν εἰς τὸν κόλπον ***. καὶ Ἐρατοσθένης ἐν γ̅ Γεωγραφουμένων (fr. III B, 112, p. 356 Berger = fr. 145 Roller) φησί· „μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος Παρίων ἄποικος" de regione cf. A. R. 4,337 Νέστιδος αἴης urbs Illyrica nusquam alibi memoratur; est flumen Νέστος in Thracia, et Thracia urbs Νάστος aliter dicta Νέστος laudatur in St. Byz. *ν* 20 **38** Suid.* *ν* 269 Νεῦροι θ' Ἱπποπόδες τε· οἱ αὐτοὶ καὶ Νευρῖται. Σαρματίας ἔθνος. ἡ χώρα Νευρίς Eust. D. P. 310 (p. 271,45) de regione cf. Hdt. 4,51; 4,125,3 cf. etiam Hdt. 4,17,2; 4,105,1; Ps.-Scymn. fr. 15a,9 Marcotte (= Anon. Peripl. M. Eux. 49 [11v10 Diller]) **39** de forma plurali cf. Ar. Av. 917 de gentili cf. Ar. Av. 878, 1035, 1040 **40** J. AJ 5,86 τὰ δὲ πρὸς τὰς ἀνατολὰς τετραμμένα μέχρι Δαμασκοῦ πόλεως καὶ τῆς Γαλιλαίας τὰ καθύπερθεν Νεφθαλῖται παρέλαβον ἕως τοῦ Λιβάνου ὄρους καὶ τῶν τοῦ Ἰορδάνου πηγῶν Suid.* *ν* 277 Νεφθαλῖται· ἔθνος ἐπικρατῆσαν τῆς ἕω παρὰ Ἰωσήπῳ femininam formam invenias apud J. AJ 5,91; 8,76 **41** Hdt. 8,32,1 κατὰ Νέωνα πόλιν Paus. 10,32,9 ὄνομα δὲ Νεῶνα μὲν τῇ πόλει (εἶναι) urbem pluraliter dictam invenias apud D. 19,148 (ἐν Νέωσιν); Paus. 10,3,2 (Νεῶνας), et cf. Harp. *ν* 14 (= Suid. *ν* 238) Νεῶσι· … πόλις … ἣν Ἡρόδοτος μὲν ἐν η̅ (8,32,1. 33,1) Νεῶνα ὀνομάζει, Ἀνδροτίων δ' ἐν ϛ̅ Ἀτθίδος (FGrHist 324 F 23) Νεῶνας cf. etiam Str. 9,5,18 (C 439,14) ὁ δὲ Σκήψιός φησι μήτε Ἐλεῶνα μηδένα τόπον τοῦ Παρνασσοῦ δείκνυσθαι, ἀλλὰ Νεῶνα **42** Od. 1,186; 3,81; Str. 10,2,11 (C 454,18) de nympharum nomine cf. Sch. HQ ad ι 22 τινὲς δὲ Νήϊον, ὥσπερ ὁ Κράτης (fr. 47 Broggiato), τὸν περὶ τὸν λιμένα τόπον, ἐν ᾧ ἦν συνηρεφὴς τόπος, ἱερὸν Νυμφῶν. ἀφ' οὗ καὶ τὰς νύμφας κοινῶς Νηϊάδας προσαγορεύεσθαι Sch. B ad *ν* 104 αἱ τῶν *ναμάτων* νύμφαι (sc. αἱ Νηϊάδες), ἢ ἀπὸ τοῦ Νηΐου ὄρους (cf. etiam Sch. H ad loc.) de ὑπονήιος verbo composito, quod in Od. 3,81 legitur et v.l. est in Od. 1,186, cf. Apollon. Lex. 160,11 (= Apion fr. 143 Neitzel = Heliod. fr. 48 Dyck); Sch. D. T. 444,29 (= An. Ox. 4,310,10); Eust. ad α 187 (I 47,16) cf. etiam Suid.* *ν* 304 Νήιον, ὄρος Ἰθάκης, τὸ καὶ Ὑπονήιον

---

37 2 Νεστίς Xylander: *νεσίς* RQPN **38** 1 Νευροὶ R: Νεῦροι QPN τῆς Σαρματίας Xylander: τῆς ἁρματίας RQPN 2 *νευρίται* PN **39** 1 παρὰ ἀριστοφάνει R: περὶ (per comp.) ἀριστοφάνους Q, παρὰ ἀριστοφάνους PN **40** 1 Νεφθαλίται et infra *νεφθαλίτις* PN 2 θηλυκῶς QPN: -κὸν R **42** 2 περὶ Meineke: ἐπὶ RQPN ὑπονήιον R(ὑπο per comp.): ὑπερνήιον QPN 3 ὡς RQ: ὥσπερ PN ἐπικνημίδιοι RQ[pc]: -ίδιον Q[ac]PN

37. Nestos, Stadt und Fluss Illyriens. Das Ethnikon <lautet> Nestier, wie Artemidor im zweiten Buch der *Geographumena* (fr. 27 Stiehle) <angibt>, und Nestis <heisst> die <dortige> Landschaft.[60]

38. Neurer, Volk in Sarmatien.[61] Dionysios <erwähnt sie> in seiner *Periegese* (310). Und Neuris <heisst> die <dortige> Landschaft. Man nennt <die Neurer> auch Neuriten.

39. Nephelokokkygia (Wolkenkuckucksheim), witzig ausgedachter Stadtname bei Aristophanes (Av. 819), der sowohl im Singular als auch im Plural verwendet wird. Das Ethnikon <lautet> Nephelokokkygieer (Wolkenkuckucksheimer).

40. Nephthaliten, Volk,[62] welches die Herrschaft über den Osten <von Galilaia> ausgeübt hat, wie Iosephos (AJ 5,86) <angibt>. Und im Femininum <sagt man> Nephthalitidin.

41. Neon, Stadt in Phokis.[63] Herodot <erwähnt sie> im achten Buch (8,32,1). Das Ethnikon <lautet> Neonier, wie <zu> Eleon Eleonier, und <im Femininum> Neonierin, und <der Bürger heisst auch> Neonaier.[64]

42. Neïon, Berg auf <der Insel> Ithaka, nach welchem laut Krates (fr. 47 Broggiato) die Neïaden <benannt sind>. Andere hingegen <sagen>, die bei den Quellen lebenden <Nymphen nenne man Naiaden>. Das Wort ὑπονήιον ist ein Kompositum wie die Bezeichnung Epiknemidische <Lokrer>. Die Neïaden <haben ihren Namen> aber von Neïer (Νήιος) oder von Neïeer (Νηιεύς).[65]

---

[60] Zum Fluss und den gleichnamigen Anrainern s. Peretti, Il periplo di Scilace 235–245; DNP 8,861 und 867; P. Kaplan, in: BNJ 709 F 9 ad loc.

[61] Über die Neurer s. A. Corcella, in: Asheri/Lloyd/Corcella, Commentary on Herodotus 589 (mit weiterführender Literatur).

[62] Über das Volk s. Encyclopaedia Judaica 14,773–775 (Naphtali).

[63] Inventory Nr. 187. Das Toponym ist in verschiedenen Formen überliefert, s. Similia. Da die Herodotüberlieferung einhellig Erstbetonung (Νέων) belegt, ist von Meinekes Änderung (Νεών) abzusehen, auch wenn diese eine Stütze durch das Herodotzitat bei Harpokration erhält.

[64] Zum alternativen Ethnikon Νεωναῖος vermerkt Meineke „hoc ad aliunde non cognitam formam Νεωναί referendum".

[65] Hinter dieser Auskunft steht eine Debatte der antiken Homerexegese, nämlich einerseits über die Identifikation der Örtlichkeit Νήιον, andererseits über das Kompositum ὑπονήιον, s. A.R. Dyck, HSCPh 95 (1993) 53 f.; Broggiato, Cratete di Mallo 213 f.

16 **43 Νηκουίνα·** πόλις Ὀμβρίκων. Διονύσιος ιζ̅ Ῥωμαϊκῆς ἀρχαιολογίας (vol. 4, p. 288 Jacoby). τὸ ἐθνικὸν Νηκουινάτης.

44 Νήραβος· πόλις Συρίας. Νικόλαος δ̅ (FGrHist 90 F 17). τὸ ἐθνικὸν Νηράβιος, ὡς τοῦ Τόρρηβος Τορρήβιος.

20 **45 Νήρικος·** πόλις Ἀκαρνανίας, ἣν Ὅμηρος (ω 377) ἀκτήν φησιν
474 ἠπείροιο, ἥτις ἐστὶν Ἀκαρνανία. Λούπερκος (RE XIII 2,1839 Nr. 5) δὲ ταύτην Νήριτος φησὶν ἢ Νήριτον, ὡς τὸ ὄρος. ὁ πολίτης Νηρίκιος καὶ Νηρικία, καὶ τὸ κτητικὸν τοῦ ὄρους Νηρίτιος.

46 Νηρίς· πόλις Μεσσήνης. Νικόλαος δ̅ (FGrHist 90 F 33).

5 **47 Νησαῖον πεδίον·** ἀφ' οὗ παρὰ Μήδοις οἱ Νησαῖοι ἵπποι.

48 Νῆσος· ἡ ἐν θαλάσσῃ πόλις. ὁ ταύτην οἰκῶν *νησίτης*, ὡς Κάνωβος Κανωβίτης. τοῦ δὲ *νησίον νησιώτης* καὶ *νησιῶτις* θηλυκῶς. καὶ *νησαῖος* ὡς χερσαῖος. τὸ κτητικὸν *νησιωτικός*. ἔστι καὶ Νῆσος πόλις
10 Ἰβηρική.

---

43 urbs Latine vel *Nequinum* (Liv. 10,10,5; Plin. nat. 3,113) vel *Nequina* (Itin. Anton. Aug. p. 533 Wesseling) antea appellata, postea Narnia (Ναρνία) dicta **45** Eust. D. P. 492 (p. 309,16) Τῆς ἠπείρου γὰρ πόλις καὶ τὸ Νήρικον … διὰ τοῦ κ γραφόμενον εἰ καί τις Λούπερκος, ἀνὴρ παλαιός, ὡς οἱ Σχολιασταὶ λέγουσι, διὰ τοῦ τ γράφει καὶ τὴν τοιαύτην πόλιν ὁμωνύμως τῷ Ἰθακησίῳ ὄρει in Acarnania sita Str. 10,2,8 (C 451,34) Αὕτη (sc. Λευκάς) δ' ἦν τὸ παλαιὸν μὲν χερρόνησος τῆς Ἀκαρνάνων γῆς. καλεῖ δ' ὁ ποιητὴς αὐτὴν „ἀκτὴν ἠπείροιο" (ω 378), τὴν περαίαν τῆς Ἰθάκης καὶ τῆς Κεφαλληνίας „ἤπειρον" καλῶν (αὕτη δ' ἐστὶν ἡ Ἀκαρνανία· ὥστε ὅταν φῇ „ἀκτὴν ἠπείροιο", τῆς Ἀκαρνανίας ἀκτὴν δέχεσθαι δεῖ). τῆς δὲ Λευκάδος ἥ τε Νήρικος (D[ac]E, *νήριτος* BCD[pc]) sunt, qui Νήρικος et Νήριτος confundant, Str. 10,2,11 (C 454,22); cf. etiam Sch. (Porph.) ad α 186d Pontani; Eust. ad Β 633 (I 476,10) D. P. 495 Νηρικίης Ἰθάκης, cum Eust. ad loc. (p. 309,9) montis possessivum Ov. met. 13,712 *Neritiasque domus* **46** Suid.* ν 335 Νηρίς· πόλις Μεσσήνης **47** Hdt. 7,40,3 Νησαῖοι δὲ καλέονται ἵπποι ἐπὶ τοῦδε· ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι Νήσαιον. τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο erravisse Stephanum putat Suid.* ν 425 σημείωσαι οὖν, ὅτι ἔσφαλται ἀληθῶς παρὰ τῷ ἀναγραψαμένῳ τὰ ἐθνικά, τὸ Νισαῖον πεδίον καὶ οἱ Νισαῖοι ἵπποι παραδεδομένα διὰ τοῦ η γράφεσθαι cf. etiam Str. 11,13,7 (C 525,12); Suid. ι 578 (= Paus. Gr. ι 8 Erbse); Eust. D. P. 1017 (p. 392,24) **48** Suid.* ν 343 Νῆσος … ἐντεῦθεν Νησίτης καὶ πλεονασμῷ Νησιώτης, ὡς ἀγροιώτης Suid. ν 341 Νησίον· καὶ Νησιώτης, ὁ ἀπὸ νήσου de Νῆσος in Iberia sita cf. Agath. 2,21,7 et passim

---

43 1 Νηκουίνα et infra Νηκουινάτης Cluverius (Italia ant. [1624] p. 636): Νηκούια et *νηκουιάτης* QPN, *νικουιάτης* R ἀρχαιολογίας RN: ἀρχῆς QP **44** 2 τόρηβος τορήβιος R **45** 3 ἢ *νήριτον* RQ: ἢ *νήριτος* PN 4 νηρικία R: νηρικίαι QPN καὶ τὸ RQPN: ὡς τὸ dub. Meineke in app. *νηρίτιος* (νη supra lin. add.) P[pc] **46** Μεσσήνης Xylander: μεσήνης RQPN **47** ἀφ' οὗ παρὰ Μήδοις RQPN: παρὰ Μήδοις ἀφ' οὗ susp. Meineke in app. Νησαῖοι ἵπποι in marg. iter. P(alt. m.) **48** 2 θηλυκῶς QPN: -κόν R 3 νῆσος πόλις RQN: πόλις νῆσος P

43. Nekuina, Stadt der Umbrer.[66] Dionysios <erwähnt sie> im siebzehnten Buch seiner *Römischen Altertumskunde* (Bd. 4, S. 288 Jacoby). Das Ethnikon <lautet> Nekuinat.

44. Nerabos, Stadt in Syrien.[67] Nikolaos <erwähnt sie> im vierten Buch (FGrHist 90 F 17). Das Ethnikon <lautet> Nerabier, wie zu Torrhebos Torrhebier <gebildet wird>.

45. Nerikos, Stadt in Akarnanien,[68] die Homer (Od. 24,377) als „Küste des Festlandes“ bezeichnet, welches <eben> Akarnanien ist. Luperkos (RE XIII 2,1839 Nr. 5) nennt diese <Stadt> Neritos oder Neriton, wie den Berg <auf der Insel Ithaka>.[69] Der Bürger <heisst> Nerikier, und <im Femininum sagt man> Nerikierin (bzw. nerikische), und das Ktetikon zum Gebirge <lautet> neritisches.

46. Neris, Stadt in Messenien.[70] Nikolaos <erwähnt sie> im vierten Buch (FGrHist 90 F 33).

47. Nesaion Pedion (Nesäische Ebene), wonach bei den Medern die Nesäischen Pferde <benannt sind>.[71]

48. Nesos (Insel), die im Meer <gelegene> Stadt.[72] Wer diese bewohnt, <heisst> Nesit (Inselbewohner), wie <zu> Kanobos Kanobit. Von Nesion (Inselchen) <leitet man> Nesiot und Nesiotidin im Femininum <ab>. Ferner <gibt es das Topikon> νησαῖος (‚auf der Insel gelegen‘), <gebildet> wie χερσαῖος (‚auf dem Festland lebend‘). Das Ktetikon <lautet> nesiotisch. Es gibt zudem Nesos, eine iberische Stadt.[73]

---

[66] Offensichtlich handelt es sich um *Nequinum*, wie die Samnitenstadt Narnia (ν 17) mit altem Namen hiess; zu dieser s. DNP 8,714.

[67] DNP 8,843.

[68] Inventory S. 353, 365.

[69] Zum Grammatiker Luperkos (3. Jh. n. Chr.) s. LGGA s.v. Lupercus (G. Ucciardello). Auf die Kontroverse, ob Νήρικος oder Νήριτος zu schreiben sei, bezieht sich, wohl in Polemik gegen Demetrios von Skepsis, Strabon (10,2,11 [C 454,22]), der die beiden Örtlichkeiten Νήρικος (akarnanische Stadt) und Νήριτος (Berg auf Ithaka) klar voneinander unterscheidet. Umstritten war offenbar auch das Genus von Νήρικος; als Femininum behandelt es Str. 10,2,8 (C 452,3), als Neutrum hingegen Eust. D. P. 492 (p. 309,17), Sch. ad α 186.

[70] Eine Örtlichkeit dieses Namens in Messenien ist sonst nicht bekannt; dass sie identisch ist mit κώμη Νηρίς in der Thyreatis (Paus. 2,38,6, vgl. auch Stat. Theb. 4,46), ist keineswegs auszuschliessen; so bei G. Shipley, in: M.H. Hansen (Hg.), The Polis as an urban centre and as a political community. Acts of the Copenhagen Polis Centre 4 (Copenhagen 1997) 189–281, hier 262.

[71] Zur Nesäischen Ebene und den dort gezüchteten Pferden s. RE XVII 1,712; zu letzteren auch A. Hyland, Equus: The horse in the Roman world (London 1990) 14–16, 41. Die Schreibweise mit ι, wie sie Suid.* ν 425 verficht, ist in der Gesamtüberlieferung des Namens minoritär.

[72] Topographische Bestimmungswörter bilden auch sonst in den *Ethnika* selbständige Lemmata, so Κώμη (κ 310), Πόλις (531,15).

[73] Offensichtlich handelt es sich um die bei Agathias (s. Similia) genannte Stadt im kaukasischen Iberien (Georgien); RE XVII 1,78 f.

49 Νησώπη· νῆσος Λέσβου, ἡ τὸν Σίγριον λιμένα ποιοῦσα. τὸ ἐθνικὸν Νησωπαῖος.

50 Νίβις· πόλις Αἰγύπτου. Φλέγων ρμ Ὀλυμπιάδι (FGrHist 257 F 10). τὸ ἐθνικὸν Νιβίτης ὡς Μεμφίτης.

15 **51 Νίγρητες**· ἔθνος Λιβύης, ἀπὸ ποταμοῦ Νίγρητος. Διονύσιος (215) „καὶ ἀγχέμαχοι Νίγρητες“.

---

49 Suid.* ν 344 Νησώπη· νῆσος Λέσβου, τὸν Σίγριν, φασί, λιμένα ποιοῦσα   de Σίγριον cf. St. Byz. α 337; 565,1   **50** Suid.* ν 364 Νῖβις· πόλις Αἰγύπτου   **51** Suid.* ν 367 Νιγρῆτες· ἔθνος Λιβυκόν   D. P. 215 καὶ ἀγχίγυοι Νίγρητες   cf. etiam Plin. nat. 5,43 *Aethiopum gentes Nigritae a quo dictum est flumine*; Ptol. Geog. 4,6,16 (4,6,5) τῶν Νιγριτῶν Αἰθιόπων, οἵ εἰσιν ἀρκτικώτεροι τοῦ Νίγειρος ποταμοῦ   Νιγρῖται vel Νίγρητες memorantur etiam apud Str. 2,5,33 (C 131,13); 17,3,3 (C 826,21); 17,3,7 (C 828,19)   fluminis nomen Νίγειρ apud Ptol. Geog. 4,6,14 (4,6,4) et 25 (8); Νίγιρ apud Anon. Geog. Comp. 31 (GGM 2,502,25); *Nigris* apud Plin. nat. 5,30; 5,44

---

49 1 Νησώπη et infra νησωπαῖος RQ[ac]: Νισώπη et νισωπαῖος Q[pc](ϊ supra η scripto)PN   Σίγριον Holste (cl. St. Byz. 565,1): σίγρην R, -ιν QPN   post **49** τέλος τοῦ λγ βιβλίου add. R   ante **50** βιβλίον λδ add. R, ἀρχὴ τοῦ λδ βιβλίου in marg. add. P(alt. m.)   **50** 1 Ὀλυμπιάδι Holste: ὀλυμπιάδος RQPN   **51** 1 ποταμοῦ QPN: τοῦ R   2 νίγρητες N: ἴγρητες RQP

49. Nesope, Insel bei Lesbos,[74] welche die Hafenbucht Sigrion bildet. Das Ethnikon <lautet> Nesopaier.

50. Nibis, Stadt in Ägypten.[75] Phlegon <erwähnt sie> unter der hundertundvierzigsten Olympiade (FGrHist 257 F 10). Das Ethnikon <lautet> Nibit, wie Memphit.

51. Nigreten, Volk in Libyen, <benannt> nach einem Fluss <namens> Nigres (Niger).[76] Dionysios (der Perieget, 215) <sagt>: „und die Nigreten, die Nahkämpfer".[77]

---

74 Zu dieser nicht weiter belegten Insel, heute Megalonisi, s. RE XVII 1,78; TIB 10,277.

75 Über diese Stadt scheint sonst nichts bekannt zu sein; s. Calderini/Daris, Dizionario 3,4,354.

76 RE XVII 1,214; Desanges, Catalogue des tribus africaines 226 f.

77 Im Zitat des Dionysios überrascht die Variante ἀγχέμαχοι für ἀγχίγυοι (‚die Grenznachbarn'). Das homerische Epitheton für Völker ist nicht ungewöhnlich, z. B. Il. 13,5; Hes. Sc. 25; so auch bei St. Byz. ζ 15 (in einem Posidippzitat). Strabon (17,3,7) beschreibt die Nigreten als Bogenschützen, also mit einer Eigenschaft, welche der Vorstellung vom ‚Nahkämpfer' widerspricht.

52 Νίκαια· πόλις Βιθυνίας, Βοττιαίων ἄποικος. ἐκαλεῖτο δὲ πρότερον Ἀγκώρη, εἶτα Ἀντιγόνεια, ὕστερον δὲ ἀπὸ τῆς Λυσιμάχου γυναικὸς
20 Νίκαια μετεκλήθη. β̅ τῶν Ἐπικνημιδίων Λοκρῶν. γ̅ ἐν Ἰλλυρίδι. δ̅ ἐν Ἰνδοῖς. ε̅ ἐν Κύρνῳ τῇ νήσῳ. ϛ̅ ἐν Λεύκτροις τῆς Βοιωτίας. ζ̅ Κελτικῆς, Μασσαλιωτῶν ἄποικος. η̅ Θρᾴκης. εἰσὶ δὲ καὶ ἄλλαι {ἢ παρὰ θερμοπύλας 5
475 καὶ θράκην}. λέγεται δὲ προπαροξυτόνως· εἰ δ' ἔστι Νικαῖος, τὸ θηλυκὸν Νικαία. ὁ πολίτης Νικαιεύς καὶ Νικαεύς διχῶς. ἐξ αὐτῆς Ἰσίγονος καὶ Ἀσκληπιάδης καὶ Παρθένιος καὶ Ἀπολλόδωρος καὶ Ἐπιθέρσης γραμματικὸς γράψας περὶ λέξεων Ἀττικῶν καὶ κωμικῶν καὶ τραγικῶν.

---

52 Sch. Not. Episc. 3,143 (p. 107 Parthey) Νίκαια, πόλις ἐν τῇ κατὰ Βιθυνίαν Μυσίᾳ· ἐκτίσθη ὑπὸ Λυσιμάχου ἐπὶ τῆς Ἀσκανίας λίμνης· ἐκαλεῖτο δὲ πρότερον Ἑλικόρη (Ἑλικωρή Merkelbach) … μετὰ δὲ τὴν Ἀλεξάνδρου τελευτὴν ἐκτίσθη ὑπὸ Λυσιμάχου καὶ ὠνομάσθη Νίκαια ἀπὸ τῆς Ἀντιπάτρου θυγατρός. ἐκ ταύτης ὁ Στωϊκὸς φιλόσοφος Ἀπολλῶ (Ἀπολλῶς dub. Merkelbach), Ἀπολλωνίου τοῦ μετὰ Δάρδανον γνώριμος, Λύκων καὶ Λύκανδρος, ὁμοίως Στωϊκοὶ φιλόσοφοι, Ἱέραξ, Ἡλιόδωρος, δόκιμοι γραμματικοί   Suid.* ν 380 de Nicaea urbe Bithyniae Βοττιαίων ἄποικος, αὕτη κληθεῖσα καὶ Ἀντιγόνεια. παρωνόμασται δὲ Νίκῃ τῇ τοῦ Λυσιμάχου γυναικί. ἄλλως δὲ ὁμωνυμεῖ, εἴπερ ἐκείνη ἐκαλεῖτο Νίκαια. ἔστι δὲ καὶ Ἰλλυρὶς Νίκαια καὶ Ἰνδικὴ καὶ Κύρνου τῆς νήσου καὶ Λευκτρικὴ καὶ Κελτῶν καὶ Λοκρῶν Ἐπικνημιδίων καὶ περὶ Θερμοπύλας καὶ Θρᾴκην. ἄνδρες ἐξ αὐτῆς πολλοὶ λόγου ἄξιοι. ἐθνικὸν αὐτῆς Νικαιεὺς καὶ Νικαεύς. εἰ δ' ἔστι, φασί, Νικαῖος, παροξύνεται ἡ ῥηθεῖσα· Νικαία γάρ   urbs in Bithynia sita Str. 12,4,7 (C 565,30) Νίκαια, ἡ μητρόπολις τῆς Βιθυνίας ἐπὶ τῇ Ἀσκανίᾳ λίμνῃ … κτίσμα Ἀντιγόνου μὲν πρῶτον τοῦ Φιλίππου, ὃς αὐτὴν Ἀντιγόνειαν προσεῖπεν, εἶτα Λυσιμάχου, ὃς ἀπὸ τῆς γυναικὸς μετωνόμασε Νίκαιαν (ἦν δ' αὕτη θυγάτηρ Ἀντιπάτρου)   in Locride iuxta Thermopylas sita Str. 9,4,4 (C 426,18); 9,4,13 (C 428,14); Did. in D. col. 11,28; Harp. ν 15 (cf. Suid. ν 381)   in India D. S. 17,89,6; Str. 15,1,29 (C 699,1); Arr. An. 5,19,4; sed est alia Νίκαια apud Arr. An. 4,22,6 memorata   in Corsica D. S. 5,13,3   Massiliensium colonia Str. 4,1,9 (C 184,16); Plin. nat. 3,47   urbs in Thracia sita, quae saepius Νίκη (*Nice*) dicitur, (μικρὰ) Νίκαια appellatur apud Anna Comn. Alex. 7,2,9; 10,4,6

---

52 2 ἀγκώρη RQPN: Ἑλικόρη Holste, Ἑλικωρή Merkelbach   3 μετεκλήθη R[pc](ex ἐπεκλ-)Q: ἐκλήθη PN   4 τῆς RQN: τοῖς P   5–6 verba ἢ παρὰ – θράκην delenda esse susp. Meineke (mon. Berkel) in app.   5 ἢ RQ: αἳ PN   παρὰ R: περὶ QPN   6 θράκην RQ: θρᾶκας PN   7 αὐτῆς Pinedo: αὐτοῦ RQPN   Ἰσίγονος Holste (cl. Plin. nat. 7,12): ἀρήγονος RQ, ἀρηγόν- PN   8 ἀπολλόδωρος RQPN: Ἀπολλωνίδης A. Nauck (Aristophanis Byzantii fragmenta [1848] 293; cf. St. Byz. 617,7; Harp. ι 27 etc.)   γραμματικὸς QPN: -οὶ R   9 καὶ ante κωμικῶν om. R

52. Nikaia, Stadt in Bithynien, Kolonie der Bottiaier.[78] Sie hiess früher Ankore, darauf Antigoneia, und zuletzt wurde sie nach der Ehefrau des Lysimachos in Nikaia umbenannt. Ein zweites <Nikaia befindet sich im Gebiet> der Epiknemidischen Lokrer,[79] ein drittes in Illyrien,[80] ein viertes bei den Indern.[81] Ein fünftes <liegt> auf der Insel Kyrnos (d.h. Korsika).[82] Ein sechstes <Nikaia befindet sich> im Gebiet von Leuktra in Boiotien, ein siebtes im Keltenland, eine Kolonie der Massalioten,[83] ein achtes in Thrakien.[84] Es gibt aber noch weitere <Städte dieses Namens>.[85] Man schreibt <den Stadtnamen> mit Betonung auf der drittletzten Silbe. Wenn es sich jedoch um <das Adjektiv> Νικαῖος handelt, <lautet> das <zugehörige> Femininum <mit Betonung auf der vorletzten Silbe> Νικαία.[86] Der Bürger <heisst> sowohl Nikaieer als auch Nikaeer. Aus der Stadt <in Bithynien stammen> Isigonos, Asklepiades, Parthenios, Apollodoros und der Grammatiker Epitherses, welcher eine Schrift über Ausdrücke in der attischen Komödie und Tragödie verfasst hat.[87]

---

[78] Cohen, Hell. settlements 1,398–400; R. Merkelbach, Epigraphica Anatolica 5 (1985) 1–3, über den Zeugniswert des Scholions zur Notitia Episc. 3,143 (s. Similia). Für weitere Diskussion s. Inventory S. 976.

[79] Inventory Nr. 385.

[80] Inventory Nr. 101.

[81] Cohen, Hell. settlements 3,317 f.

[82] Dazu s. Inventory S. 157 f.; BTCGI 12,339 f.

[83] Das heutige Nizza, Inventory S. 160; Privitera, *Poleis Massalias*, insb. 46.

[84] RE XVII 1,283 (Nike), bes. 284,51; TIB 6,374 f.

[85] Die überlieferte Zusatznotiz ist unverständlich: Das thrakische Nikaia (Nr. 8) wurde soeben erwähnt, und jenes bei den Thermopylen ist mit dem lokrischen (Nr. 2) identisch. Zu dem bei Arrian (An. 4,22,6) erwähnten Nikaia im Gebiet der Parapamisaden s. Cohen, Hell. settlements 3,282 f. Meinekes Vermutung, es handle sich um eine Randnotiz, welche ἄλλαι spezifiziert, hat vieles für sich.

[86] Im Licht der alternativen Ethnika von δ 80 Δίκαια (Δικαῖος καὶ Δικαιεύς) sowie vor allem von ν 61 Νίναια (Νιναῖος ἢ Νιναιεύς) ist nicht auszuschliessen, dass es sich auch hier bei Νικαῖος und Νικαία um Varianten des Ethnikons handelt.

[87] Eine Liste berühmter Bürger aus Nikaia gibt auch die Notitia Episc. 3,143, doch stimmt sie nicht mit jener bei Stephanos überein. Dass sich hinter dem unverständlichen ἀρήγονος der Name des Paradoxographen Isigonos (vgl. Paradox. S. 146–148 Giannini) verbirgt, ist so gut wie sicher. Nicht gesichert ist hingegen die Identifikation des Asklepiades von Nikaia; s. DNP 2,92 Nr. 7. Dass er identisch sei mit dem berühmteren Grammatiker Asklepiades von Myrleia, bleibt unwahrscheinlich; s. L. Pagani, Asclepiade di Mirlea. I frammenti degli scritti omerici (Roma 2007) 137 f. Parthenios ist gut bekannt, s. J.L. Lightfoot, Parthenius of Nicaea (Oxford 1999), bes. 9–16. Problematisch ist der Fall des unbekannten Apollodor; Verderbnis der Überlieferung bzw. falsche Auflösung eines Kürzels sind nicht auszuschliessen: Ein stoischer Philosoph Ἀπολλώ, wie ihn die Notitia Episc. nennt, lässt sich in Nikaia nicht nachweisen. Mit A. Naucks und Meinekes Verbesserung Ἀπολλωνίδης würde man den Namen eines bekannten Grammatikers zurückgewinnen, welchen Stephanos auch sonst zitiert, Ἀπολλωνίδης ὁ Νικαεύς (617,7); s. LGGA s.v. Apollonides (A. Ippolito). Zum Grammatiker Epitherses s. A. Bagordo, Die antiken Traktate über das Drama. Beiträge zur Altertumskunde 111 (Stuttgart/Leipzig 1998) 65 und 127.

6 **53 Νικασία**· νησίδιον μικρὸν πλησίον Νάξου. τὸ ἐθνικὸν Νικάσιος ὡς Θηράσιος, καὶ θηλυκῶς καὶ οὐδετέρως. ἔστι καὶ κύριον ὄνομα Νικάσιος.

54 Νικάτορις· πόλις Συρίας πρὸς τῇ Εὐρώπῳ, κτίσμα Σελεύκου τοῦ
10 Νικάτορος. τὸ ἐθνικὸν Νικατορίτης.

55 Νικηφόριον· οὕτως ἡ Κωνσταντίνα ἡ περὶ Ἔδεσσαν πόλις, ὡς Οὐράνιος (FGrHist 675 F 29). τὸ ἐθνικὸν Νικηφόριος ὡς Βυζάντιος.

56 Νικίου· κώμη Αἰγύπτου. Ἀρισταγόρας Αἰγυπτιακῶν β̄ (FGrHist 608 F 3). ὁ οἰκήτωρ Νικιώτης, ὥς φησιν Ὦρος Ἐθνικῶν ᾱ (F 1 Billerbeck).

15 **57 Νικομήδεια**· πόλις Βιθυνίας, ἀπὸ Νικομήδους τοῦ Ζιήλα παιδός, ἐπισημοτάτου βασιλέως. ἣ καὶ Ὀλβία ἐκλήθη. ὁ πολίτης Νικομηδεύς. καὶ τὸ κτητικὸν Νικομήδειος, καὶ θηλυκὸν καὶ οὐδέτερον. ἐξ ἧς Ἀρριανός.

---

53 Suid.* *ν* 377 Νικασία· νησίδιον πλησίον Νάξου Eust. D. P. 530 (p. 320,14) Ἔστι δὲ τῶν Σποράδων ἡ Νικασία, πλησίον τῆς Νάξου; Plin. nat. 4,68 **54** Suid.* *ν* 379 Νικάτορις· πόλις Συρίας, κτίσμα Σελεύκου τοῦ Νικάτορος urbs Νικατορία a Seleuco Nicatore condita memoratur in Hist. Alex. Magn. recens. γ 1,35 (p. 124,1 Lauenstein); recens. ε 14,4 (p. 52,13 Trumpf) **55** Suid.* *ν* 388 Νικηφόριον· οὕτω, φασίν, ἐκαλεῖτο ἡ περὶ Ἔδεσσαν Κωνστάντεια **56** Suid.* *ν* 390 Νικίου· κώμη περὶ Αἴγυπτον, ταύτης ὁ οἰκήτωρ Νικιώτης Str. 17,1,14 (C 799,19) Νικίου κώμη cf. etiam Ptol. Geog. 4,5,49 (4,5,20) gentile Νικιώτης BGU III 939,5; PPanop.Beatty 2,8,211 **57** Suid.* *ν* 400 (sc. Νικομήδεια) ἡ καὶ Ὀλβία ποτε κληθεῖσα· παρωνόμασται δέ φασι Νικομήδει τῷ τοῦ Ζιήλα παιδί· ἐξ ἐκείνου δὲ διὰ τὸ καὶ αὐτοῦ καὶ τῆς κατ' αὐτὸν πόλεως διάσημον ἐκαλεῖτο, καὶ οἱ μετ' αὐτὸν Νικομηδεῖς, καθὰ καὶ ἀπὸ τοῦ πρώτου Φαραὼ οἱ μετ' ἐκεῖνον τοῦ αὐτοῦ ἐκληρονόμουν ὀνόματος (pergit de Nicomedio emporio disserere, vide *ν* 58) … ἦν δὲ τῆς Νικομηδείας πολίτης ὁ περιώνυμος ῥήτωρ Ἀρριανός a Nicomede condita et vocata Str. 12,4,2 (C 563,20), Paus. 5,12,7; Phot. Bibl. 228a5 (= Memn. FGrHist 434 F 12); Tz. H. 3,953 (= Arr. FGrHist 156 F 29 = Arr. Bith. fr. 63 Roos)

---

53 2 θηλυκὸν καὶ οὐδέτερον R ἔστι om. R κύριον ὄνομα RQP: ὄνομα κύριον N **54** 1 Νικάτορις RQPN: Νικατορίς Meineke Εὐρώπῳ Holste: εὐρώπη RQPN, Εὐρωπῷ Grumach (de accentu vide quae adnotavimus ad ε 172) **55** 1 κωνσταντίνα RQ[pc]PN: -ντῖνα Q[ac] (cf. St. Byz. α 179) Ἔδεσσαν Berkel: ἔδεσαν RQPN πόλιν R 1–2 ὡς Οὐράνιος om. PN **56** 1 Νικίου· κώμη Αἰγύπτου Berkel: post κώμη dist. QPN Ald., non dist. R 2 νηκιώτης R[ac] ὡς ἔφη (ex ἔφησ) R[pc] ἐθνικὸν R **57** 1 Ζιήλα Billerbeck (cl. Suid.* *ν* 400): ζήλα QPN, ζηίλα R 3 τὸ om. RQP θηλυκὸν καὶ οὐδέτερον RQ: θηλυκῶς καὶ οὐδετέρως PN ἐξ ἧς Berkel: ἐξῆς RQ, ὡς PN

53. Nikasia, kleines Eiland in der Nähe von Naxos.[88] Das Ethnikon <lautet> Nikasier, wie Therasier, und <entsprechend> im Femininum und im Neutrum. Es gibt auch den Eigennamen Nikasios.[89]

54. Nikatoris, Stadt in Syrien,[90] bei der Stadt Europos <gelegen>, eine Gründung des Seleukos Nikator. Das Ethnikon <lautet> Nikatorit.

55. Nikephorion, so <hiess früher> Konstantina,[91] die Stadt in der Nähe von Edessa, wie Uranios (FGrHist 675 F 29) <angibt>. Das Ethnikon <lautet> Nikephorier, <gebildet> wie Byzantier.

56. Nikiu, Dorf in Ägypten.[92] Aristagoras <erwähnt es> im zweiten Buch der *Aigyptiaka* (FGrHist 608 F 3). Der Bewohner <heisst> Nikiot, wie Oros im ersten Buch der *Ethnika* (F 1 Billerbeck) sagt.

57. Nikomedeia, Stadt in Bithynien, nach Nikomedes <benannt>, dem Sohn des Ziaelas, dem hochberühmten König.[93] Diese <Stadt> hat man auch Olbia genannt.[94] Der Bürger <heisst> Nikomedeer. Und das Ktetikon <lautet> nikomedeischer und <entsprechend> das Femininum sowie das Neutrum. Aus ihr <stammt> Arrian.

---

88 RE XVII 1,280 f.

89 Für den Eigennamen Νικάσιος s. LGPN 1,331; 2,331 usw.; Fraser, Ethnic terminology 149 Anm. 8.

90 Cohen, Hell. settlements 2,185 und 3,83; Fraser, Ethnic terminology 359.

91 Cohen, Hell. settlements 3,83–85.

92 Zwar interpungieren QPN nach κώμη, gehen also von einem zweigliedrigen Toponym aus; doch bereits Berkel hat κώμη richtig als das Bestimmungswort definiert. Die Erklärung ergibt sich einerseits aus St. Byz. α 397 Ἀργέου· νῆσος … Αἰγυπτία … . οἱ οἰκήτορες Ἀργεῶται, ὡς τῆς Νικίου Νικιῶται καὶ τῆς Χαιρέου Χαιρεῶται. καὶ αὗται γὰρ Αἰγύπτου πόλεις, andererseits aus der Analogie mit jenen Ortsnamen, deren zweites Glied κώμη Bestandteil des Ethnikons wird, so Διοσκουροκωμήτης von Διοσκούρων κώμη (δ 94), Θρᾳκοκωμήτης von Θρᾳκῶν κώμη (θ 57), Ἱπποκωμῆται von Ἵππου κώμη (ι 89) und Μεγαλοκωμήτης von Μεγάλη κώμη (κ 26). Die Einträge bei Ptolemaios (4,5,49) sowie in der Suda (ν 390) weisen in dieselbe Richtung. Von dieser Regel abzuweichen scheint ein impliziertes Ethnikon Νεαῖος zu Νέα κώμη (ν 24); doch die Überlieferung bleibt dort zweifelhaft.
Ein Dorf Νικίου westlich von Alexandria verzeichnet Strabon (17,1,14). Ob in der ursprünglichen Version des Artikels dieser Ort erwähnt war oder die viel bekanntere Metropolis Νικίου des Nomos Prosopites (Calderini/Daris, Dizionario 3,4,358 f.; Suppl. 2,135) oder gar beide, ist nicht mehr auszumachen. Verwechslung durch den Epitomator lässt sich jedenfalls nicht ausschliessen; zu den beiden Örtlichkeiten s. Fornara, Commentary on Jacoby FGrHist 608a-608, 29 (zu FGrHist 608 F 3), ferner P.T. Keyser, in: BNJ 608 F 3 ad loc. In der Bildung des Ethnikons folgte Oros dem Kanon für ägyptische zusammengesetzte Toponyme, wie er also auch im Fall von Νικίου πόλις Anwendung fände, wo das zweite Glied unterdrückt werden kann, vgl. St. Byz. 677,18 Χαιρέου· πόλις Αἰγυπτία, κατ' ἔλλειψιν τοῦ πόλις. τὸ ἐθνικὸν Χαιρεώτης, ὡς Νικιώτης.

93 Die Namensform ist schwankend, entsprechend auch ihre Überlieferung, vgl. St. Byz. ζ 19, κ 214; 537,6; s. RE X A 387 f. Irrig ist hier die Verwandtschaftsbezeichnung, denn Ziaelas ist der Sohn des Nikomedes.

94 Über die Stadt und ihre Beziehung zu Olbia s. Inventory Nr. 753; Cohen, Hell. settlements 1,400–402; Fraser, Ethnic terminology 359 f.

58 **Νικομήδειον**· ἐμπόριον Βιθυνίας. Ἀρριανὸς ε̅ Βιθυνιακῶν (FGrHist 156
20 F 19 = fr. 6 Roos). τὸ ἐθνικὸν Νικομηδεύς. δυνατὸν καὶ Νικομηδειεύς.

